ΑΛΗΘΕΙΑ

ΣΥΓΓΡΑΜΜΑ ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΝ ΠΕΡΙΟΔΙΚΟΝ

ΕΚΔΙΔΟΜΕΝΟΝ ΚΑΘ' ΕΒΔΟΜΑΔΑ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ.

ΕΤΟΣ Α^ον | 3 ΔΕΚΕΜΒΡΙΟΥ 1880. | ΤΕΥΧΟΣ Ι^ον

Η ΠΑΤΡΙΑΡΧΙΚΗ ΜΕΓΑΛΗ ΤΟΥ ΓΕΝΟΥΣ ΣΧΟΛΗ.

Ὑπὸ Μ. Δ. Χ.

Ⅱ.

«Ἡ τῆς Σχολῆς διδασκαλία πέπαυται περὶ τὰ εἴκοσιν ἔτη. Εἶτα δὲ ἐπὶ τῆς πατριαρχείας Καλλινίκου τοῦ Ἀκαρνᾶν ἐπιλεγομένου, συνεστήθη αὖθις τῷ 1691 ἔτει, ἐπιμελείᾳ μὲν τοῦ Πατριάρχου, πραγματικῇ δὲ βοηθείᾳ τοῦ αὐτοῦ ἀγαθοεργοῦ καὶ διαπύρου ἐπὶ φωτισμῷ τοῦ Γένους, ἀξιομνημονεύτου ἀνδρὸς, γηραιοῦ ἤδη Μανολάκη» (Ἑλασ. Συγγρ. σελ. 352). Τὰ τῆς ἀνασυστάσεως ταύτης τῆς Σχολῆς ἐκτίθησι τὸ ἑπόμενον σιγίλλιον, ὅπερ ἄχρις ἐσχάτων σωζόμενον ἐν τοῖς ἀρχείοις τῆς Σχολῆς, ἄγνωστον τίνες βέβηλοι χεῖρες αὐτὸ ἀνήρπασαν, καὶ ὅπερ, περισωθὲν ἡμῖν ὑπὸ τοῦ Ὑψηλάντου ἐν σελ. 204—8 τῶν «Μετὰ τὴν ἅλωσιν» παρατίθεμεν ὧδε, ἔχον ὡς ἑπομένως:

Καλλίνικος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ρώμης, καὶ Οἰκουμενικὸς Πατριάρχης.

«Παιδείας καὶ σοφίας Κυρίου κρείττων οὐδὲν ἐν τῷ μετὰ σώματος βίῳ τῶν ὁμολογουμένων ὄντως καλῶν, διά τε τὸ περιὸν τῆς ἀξίας ὑποκειμένου, εἰποιμεν ἄν, περὶ ὃ καταγίνεσθαι πέφυκε, καὶ τὸ ὑπερέχον τοῦ τέλους πρὸς ὃ ποιεῖται τὴν ἔκβασιν· ὅπερ θεῖον ὄντως ἐστὶ καὶ ἐξαίρετον, ἵνα μὴ λέγω τῆς θείας μακαριότητός ἐστιν ἀπορρώξ· καὶ γὰρ τοῦ κατ' ἀρετὴν βίου ἡ μακαριότης ἐστὶ, κατὰ τοὺς ἱεροὺς διδασκάλους τῆς Ἐκκλησίας· διὸ, μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὢν εἶδε φρόνησιν, τὸ ἱερὸν φησι λόγιον. Ἔνθεν τοι καὶ περισπούδαστον ἔργον παρὰ πάντα κέκριται πάντως τοῖς εὖ φρονοῦσιν ἡ τῆς σοφίας μελέτη, καὶ λίαν ἀναγκαῖον ἀνθρώποις, ὡς συμπληρωματικὸν καὶ ἀπαρτιστικὸν σφίσιν αὐτοῖς τῆς κατὰ λόγον καὶ γνῶσιν ἐνεργείας, δι' ἧς καὶ ἄνθρωπος πέφυκε καὶ Θεοῦ εἰκὼν ἄνθρωπος λέγεται. Ἀλλ' οἷς οἶδε κρίμασι Κύριος ἀμελούμενον καθορῶντες ἐν τοῖς ἐνεστῶσι τὸ θειότατον ἔργον αὐτὸ, τὴν τῶν γραμμάτων δηλαδὴ σπουδὴν καὶ σοφίαν τὴν ἀγχίθεον, ἐν τῷ καθ' ἡμᾶς Γένει, οὕτινος γνώρισμα πάλαι βάθος σοφίας ὑπῆρχε, καὶ πλάτος ἐπιστημῶν, καὶ πλοῦτος γνώσεων, ἥτις ταπεῖν ἐν αὐτῷ μικρὰ πνέουσα φαίνεται καὶ μακρὸν ἀσθενοῦσα καὶ πρὸς τὸ ἐκλείπειν ἐγγίζουσα, περιπαθῶς λίαν ἔχομεν ἀμηχανοῦντες τοῖς ὅλοις . . . μᾶλλον διὰ τὸ μικρὸν ἀποπαύσασθαι τὸ πρὸ χρόνων ἱκανῶν κατασταθὲν διδασκαλεῖον ἐν τῇ περιφανεῖ ταύτῃ πολιτείᾳ τῆς Κωνσταντινουπόλεως, φροντίδι καὶ δαπάνῃ τοῦ τιμιωτάτου καὶ ἐπιστημοτάτου ἄρχοντος κυρίου Μανουὴλ, ἐν ᾧ πολλοὶ τῆς ἀξιεράστου σοφίας ἀπολαύσαντες, οὐ μικρὰν τὴν ὠφέλειαν ἐκαρπώσαντο. Καὶ γὰρ αὐτὸς ὁ τῆς σοφίας ἐραστὴς ἐν ἄρχουσι κ. Μανουὴλ κατὰ τοὺς μικρὸν ἔμπροσθεν χρόνους Θεόθεν κινηθεὶς, σὺν ἄλλοις μὲν τοῖς ἀλλαχοῦ παρ' αὐτοῦ φιλεργηθεῖσι φροντιστηρίοις τῶν ἱερῶν γραμμάτων, ἐξετέλεσε καὶ εἰς Κωνσταντινούπολιν τὴν ἀξιέπαινον, ἣν προειρήκαμεν Σχολὴν, ὡς παρὰ πάντων τὸ πρᾶγμα καλῶς γινωσκόμενον διαπεφήμισται· περιστατικῶν δέ τινων πρὸ ὀλίγου κατὰ τὸ ἀντίξουν, φημὶ, τῆς τοῦ καιροῦ δυσχερείας ἐπεισρυσάντων, οἷα φιλεῖ ἐν τῷ κόσμῳ συμβαίνειν ὡς τὰ πολλὰ, πέπαυται μέχρι τοῦ νῦν ἡ ἐν αὐτῇ διδασκαλία, καὶ ζημία προσετρίβη τῷ Γένει δεινὴ καὶ πᾶσαν ἄλλην τῶν ζημιῶν ὑπερέχουσα. Ὅσῳ καὶ γὰρ ἡ τοῦ καλοῦ παρουσία λυσιτελεῖ, καὶ τὰ συμφέροντα δαψιλεύει, καὶ ἐξαίρει τῶν δυσχερῶν, καὶ ἄλγος ἀπορραπίζει, καὶ θλῖψιν ἀποδιοπομπεῖται μακράν, καὶ εὐζωΐαν χαρίζεται, τοσούτῳ δῆπουθεν ἐξ ἀντιθέσεως ἡ ἀπουσία τοῦ τοιούτου σωρηδὸν ἐπιφέρει τὰ καταστρέφοντα.

»Τούτου χάριν ἐσκεμμένως ἄγαν διὰ φροντίδος ἐθέμεθα κατὰ χρέος μεθ' ὅσης ἐπιμελείας καὶ λίαν διεγηγερμένης σπουδῆς ἀναζωποιῆσαι κατὰ δύναμιν τὸν ἐν σποδιᾷ τέως ὑποκρυπτόμενον ἱερὸν ἄνθρακα τοῦ θεοδωρήτου φωτὸς τῆς παρεδρευούσης Θεῷ σοφίας, καὶ εἰς φῶς αὖθις ἀνακαλέσασθαι τὸ διαληφθὲν διδασκαλεῖον, ἐπὶ ψυχαγωγίᾳ τῶν δεινοπαθούντων ἀλήκτως καὶ στυγναζόντων ἔρωτι θείῳ διὰ τὴν ἀπουσίαν ἐκείνου, γεγονότος ἐκ μέσου καὶ λύπην ἀπολιπόντος οὐ μικρὰν τοῖς φρονοῦσιν, ὅπερ καὶ κατεστήσαμεν, σὺν ἀντιλήψει Θεοῦ, διὰ βοηθείας πάλιν τοῦ αὐτοῦ ἄρχοντος. Παρέδωκε γὰρ ὁ αὐτὸς ἄρχων τῇ καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ μίαν ὁμολογίαν ποσότητος χρημάτων ἱκανῶν, ὧν εἶχε λαβεῖν ἐξ αὐτῆς ἀπὸ δανείων, ἐπὶ τῷ ἀνακαινισθῆναι δι' αὐτῶν ὑπὸ τῆς Ἐκκλησίας τὸ φροντιστήριον, εἰς κοινὴν μὲν ὠφέλειαν τοῦ Γένους, διηνεκὲς δὲ τούτου μνημόσυνον· καὶ ταύτην ἀνὰ χεῖρας λαβόντες τὴν βοήθειαν δίκην κρηπίδος ἐθέμεθα τοῦ ἔργου, ἐν ᾗ τὴν οἰκοδομὴν ἐξηρτήσαμεν ὅλαις χερσὶ καὶ δυνάμεσι καὶ κοινῇ συγκαταθέσει καὶ βουλῇ τῆς ἱερᾶς ὁμάδος καὶ θεοσυλλέκτου ὁμηγύρεως, ἱερωτάτων φημὶ, συναδελφῶν ἡμῶν Ἀρχιερέων, τιμιωτάτων κληρικῶν, εὐγενεστάτων ἀρχόντων τῆς πολιτείας, χρησιμωτάτων καὶ ἐγκρίτων προσώπων, ἀπό τε ρουφετίων καὶ τῶν ἐνοριῶν, συναγωνισθέντος ἡμῖν οὐ μικρὸν, μακρόν τε καμόντος πρὸ τῶν λοιπῶν καὶ τοῦ Μακ. καὶ σοφωτάτου Πατριάρχου τῶν Ἱεροσολύμων κ. Δοσιθέου, τοῦ ἐν Ἁγίῳ Πνεύματι ἀγαπητοῦ καὶ περιποθήτου ἀδελφοῦ καὶ συλλειτουρ-

γοῦ τῆς ἡμῶν Μετριότητος, ἀντιπελαργοῦντος οἱονεὶ μητρὸς δίκην τὴν κοινὴν φυταλιὰν τοῦ καθ' ἡμᾶς Γένους πρὸς ὠφέλειαν αὐτοῦ καὶ μεγαλοπρέπειαν, ναὶ μὴν καὶ φωτισμὸν θείας γνώσεως, δι' ἧς ἡ τῆς ψυχῆς σωτηρία πέφυκεν ἀναμφιλέκτως ἐπιμνηστεύεσθαι.

»Καὶ δὴ πρὸς σύστασιν αὐτοῦ τοῦ φροντιστηρίου διετάξαμεν εἶναι καὶ προσεδρεύειν ἐν αὐτῷ διδασκάλους δύο· τὸν μὲν ἕνα διδάσκοντα τὰ ἐπιστημονικὰ μαθήματα, τὸν δὲ ἕτερον τὰ γραμματικὰ τῆς κυκλοπαιδείας διερμηνεύοντα· οἵτινες ἔχουσι λαμβάνειν μισθὸν τοῦ κόπου αὐτῶν, ὁ μὲν τῶν ἐπιστημονικῶν μαθημάτων γρόσ. 200, ὁ δὲ τῆς κυκλοπαιδείας γρ. 150, ἅπερ διωρίσαμεν πορίζεσθαι ἀπὸ τῶν κατ' ἔτος ἐμβατικίων δύο ἐκκλησιῶν, τῆς Παναγίας δηλονότι Γοργοεπηκόου τῆς ἐν τοῖς Ἑξ Μαρμάροις, ὅπερ ἐστὶ γρ. 270, καὶ τοῦ Ἁγίου Νικολάου τῆς ἐν τοῖς Ὑψωμαθείοις, ὅπερ ἐστὶ γρ· 80. Κἀντεῦθεν ὀφείλουσιν, ὁ μὲν διδάσκαλος τῶν ἐπιστημῶν εἰς δύο κλάσεις διδάσκειν τοὺς μαθητὰς τὰ μαθήματα, ὧν μετὰ τὴν παράδοσιν ἐρωτᾶν τε καὶ λύειν τὰς ἀπὸ τῶν αὐτῶν μαθημάτων ἀπορίας, καθ' ἡμέραν τε ἐπιτάττειν ἑνὶ τῶν μαθητῶν ἀναλαμβάνειν τὸ προειλημμένον μάθημα, χωρὶς τοῦ παρέχειν αὐτῷ τινὰ προλαβοῦσαν εἴδησιν· τῇ δὲ ἡμέρᾳ τοῦ Σαββάτου μαθήματα μὲν τῆς προκειμένης ἐπιστήμης μὴ διδάσκειν, ἀθροίζειν δὲ ἐνώπιον αὐτοῦ τοὺς μαθητὰς, εἶτα δι' ἑαυτοῦ τε καὶ δι' ἀλλήλων ἐκείνων ἐπεξεργάζεσθαι τριβήν τινα καὶ ἀναπόβλησιν κατὰ νοῦν τῶν παρελθόντων μαθημάτων, διά τινων προσαρμοζόντων προβλημάτων, προτρέπειν τε τοῖς ἐπαΐουσι μαθηταῖς καὶ συνιστᾶν αὐτοῖς ἐνδελεχῶς διαλέξεις ἀλλήλοις, δι' ὧν ἔχωσι γυμνάζεσθαι καλῶς καὶ προχωρεῖν εἰς ἐπίδοσιν. Ὁ δὲ διδάσκαλος τῆς κυκλοπαιδείας ὀφείλει διορίζειν τοὺς ὑπ' αὐτοῦ διδασκομένους εἰς κλάσεις δύο· καὶ πρὸς μὲν τὴν α. διδάσκειν ἓν τῶν λογογραφικῶν μαθημάτων, πρὸς δὲ τὴν β'. ἓν ποιητικὸν εὐληπτότερον κατὰ τὴν τῶν μαθητευομένων δύναμιν, μάλιστα δὲ τὸν σχηματισμὸν τῶν χρόνων πρὸς τοὺς ἱκανοτέρους, ἀρχόμενος ἀπὸ τῆς συντάξεως τῶν ρημάτων, μετὰ τεχνολογίας ἀδιαλείπτου, ἅτε μάλα ἀναγκαίως συμβαλλούσης ταύτης τοῖς πρωτοπείροις εἰς ἔννοιαν καὶ κατάληψιν τῶν διδασκομένων αὐτοῖς· τῇ δὲ α. κλάσει θέματα παρέχειν καθ' ἡμέραν ἐφ' ἑκάστου εἴδους τῶν ρημάτων, ὡς ἔνεστι δι' ἐπιμελείας ἔχειν ὅ,τι πλείστης καὶ χρησιμούσης φροντίδος εἰς τὸ παιδεύεσθαι τοὺς αὐτοῦ ἀκροατὰς τὴν γραμματικὴν τέχνην μετ' ἐσκεμμένης ἀσκήσεως. Παρὰ ταῦτα δὲ εἰς τὰ γραμματικὰ μαθήματα δέδοκται τὴν τοῦ Σαββάτου ἀγγίαν τοῖς ἀσκουμένοις αὐτοῖς μὴ ἐπιγίγνεσθαι· οὐ μὴν δὲ ἀλλὰ καὶ τοὺς διδασκάλους αὐτοὺς συχνὰς μὴ διάγειν ἐκεχειρίας, εἰμὴ μόνον κατὰ τὰς Κυριακὰς σχολάζειν ἐν καταπαύσει τῆς πρὸς τὸ διδάσκειν ἐνεργείας, ὡσαύτως καὶ τὰς δεσποτικὰς ἑορτὰς καὶ μερικὰς ἐπισήμους ἡμέρας, καὶ τὸ δειλινὸν πρὸς τὴν ἐννάτην ὥραν. Προσέχειν δὲ ὅλως ἑαυτοῖς ἐντέλλεται εἰλικρινῶς καὶ ἀπροσωπολήπτως μὴ ἑτεροζύγους πως ποιεῖν τὰς διδόσεις τῶν μαθημάτων, ἀλλ' οὔτε τινὰς μὲν ἐν κρυπτῷ διδάσκειν τῶν μαθητῶν, τινὰς δὲ μόνον ἐν τῇ κοινῇ ἀκροάσει· τοῦτο γὰρ παράλογον ἂν εἴη, φαῦλόν τε καὶ ἐπίψογον ἔργον καὶ σκανδάλων οὐ μικρῶν παραίτιον· ἀλλ' ἰσοπάλως πως καὶ ἰσοστάθμως ὁσίως τε καὶ ἀνεπιλήπτως κοινὴν τὴν διδασκαλίαν προβάλλεσθαι, καθὼς εὐάρεστόν ἐστι θεῷ καὶ ἀνθρώποις.

» Πρὸς τούτοις παρακελευόμεθα ὅπως τοὺς προσερχομένους ἐν τῷ φροντιστηρίῳ μαθητιᾶν, χάριν δηλονότι σπουδῆς, ἱερομονάχους ὄντας ἢ ἱεροδιακόνους, ἢ Μοναχοὺς, εἴτε ἀπὸ τοῦ Ἁγίου Τάφου, τοῦ Πατριαρχικοῦ θρόνου δηλονότι τῶν Ἱεροσολύμων, εἴτε ὑπὸ τῶν ἄλλων Πατριαρχείων, εἴτε ἀπὸ τοῦ ἁγιωνύμου Ὄρους, εἴτε ἀπὸ τοῦ μοναστηρίου τοῦ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν ἄλλων μοναστηρίων, χωρὶς βουλῆς καὶ ἀδείας καὶ γραμμάτων, ναὶ μὴν καὶ παρακλήσεων τῶν προϊσταμένων αὐτῶν μηδόλως ἀποδέχεσθαι κατ' οὐδένα τροπον, κἂν λέγωσιν εἶναι δεδιωγμένοι μὴ ἀκούεσθαι χωρὶς δεήσεως τῶν προεστώτων αὐτῶν· τοῦτο γὰρ καὶ νόμιμον καὶ κανονικὸν καὶ τῆς κανονικῆς εὐταξίας ἐχόμενον, πρὸς δέ γε τούτοις καὶ ἀναγκαῖον οὐκ ἔλαττον· ἄλλως γὰρ ἀνειμένου τοῦ πράγματος ἐναπολειφθέντος τῶν ἐνδεχομένων ἂν εἴη καί τινάς ποτε δραπέτας καὶ ὑπαιτίους ὡς κρησφύγετον εἰσέρχεσθαι, μηδενὶ ἐντυχόντας τῶν ἐμποδοστατούντων.

» Ἔτι προσεντελλόμεθα ὅπως ἐάν τις τῶν μαθητῶν, ἢ πολλοὶ τύχωσιν ἀπορροῦντες εὐφυΐας, ἤ τινες σεμνῆς μὲν εἶεν πολιτείας καὶ προαιρέσεως ἀγαθῆς καὶ γνώμης εὐθείας, προσκείμενοι μὲν τῇ σπουδῇ ἐμμελῶς, μανθάνοιεν δὲ δυσκόλως, οἱ τοιοῦτοι μὴ ἀποπέμπωνται τῆς σχολῆς διὰ τὸ βραδυμαθεῖς τυγχάνειν· εἰ δέ τινες τῶν μαθητῶν ἐξελεγχθεῖεν βλάσφημοι ἢ κακότροποι ἢ σκανδαλοποιοὶ, διεστραμμένοι τε καὶ κακῆς πολιτείας, οὗτοι ὡς ἀνάξιοι τῆς ἀπὸ τῶν γραμμάτων χάριτος ἐξακριβωθέντες κοινῇ σκέψει τῶν κατ' αὐτοὺς, ἀποβάλλωνται μακρὰν ἀνυπερθέτως παρ' οὐδενὸς δεφενδευόμενοι οὔτε τὸ παράπαν βοηθούμενοι. Κἀπὶ τούτοις οἱ μὲν διδάσκαλοι δι' ὀφειλῆς ἔχουσι λόγοις τε καὶ τρόποις καὶ τῷ κατ' αὐτοὺς ὑποδείγματι ἐκπαιδεύειν τοὺς μαθητὰς σὺν τοῖς τῶν γραμμάτων μαθήμασι καὶ θεοσέβειαν καὶ εὐλάβειαν καὶ ἠθῶν κοσμιότητα καὶ πάντα ὅσα ῥυθμίζουσι πρὸς εὐζωΐαν τὸν λογικὸν ἄνθρωπον καὶ τὸν τῆς εὐαγγελικῆς διδασκαλίας ἀκροατήν. Οἱ δὲ μαθηταὶ καλῶς καὶ νουνεχῶς προσέχειν ταῖς τῶν σῶν διδασκάλων ἐπὶ σωφρονισμῷ διδασκαλικαῖς ὑποθήκαις, ἑαυτούς τ' εὐπειθεῖς παρέχειν ὡς τὸ προσῆκον, καὶ ὑπηκόους πρὸς τοὺς διδασκάλους αὐτῶν μετὰ τῆς ὀφειλομένης αἰδοῦς, καὶ ἐξαιρέτως πρὸς τὴν ἁγίαν τοῦ Χριστοῦ Ἐκκλησίαν καὶ τοὺς προϊσταμένους αὐτῆς, καὶ μεθ' ὑποταγῆς ἀποδέχεσθαι τὰς διακελεύσεις αὐτῶν ἡνίκα πρὸς τὰ τῆς ἀρετῆς ἔργα προτρέπωνται. Ἀλλὰ καὶ ἅπαξ τοῦ ἐνιαυτοῦ ὀφείλουσιν ἀποφέρεσθαι καρπόν τινα τῶν πόνων αὐτῶν, συγγράφειν δηλαδὴ λόγους τινὰς καὶ ἐγκώμια εἰς τὴν τιμὴν καὶ μνημόσυνον τῶν συστησάντων καὶ τῶν ἀμφιπονούντων καὶ διακυβερνώντων τὴν σχολήν, ὃς δ' εἰπεῖν καὶ πρὸς ἔνδειξιν τῆς ἑαυτῶν προκοπῆς.

» Ἐφ' οἷς ἀποφαινόμεθα συνοδικῶς καὶ ἐπιβεβαιοῦμεν ἀσφαλῶς, ἵνα τὸ συγκροτηθὲν αὐτὸ φροντιστήριον Θεοῦ νεύσει ἔχῃ ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς τοῖς εἰρημένοις τρόποις τὴν σύστασιν καὶ διαμονὴν, τὸ διεξάγεσθαι καὶ διενεργεῖσθαι, τῇ δόσει τῶν κατ' ἔτος ἐμβατικίων ἀπὸ τῶν εἰρημένων δύο ἐκκλησιῶν ἀναφαιρέτως καὶ ἀναποσπάστως, προσευχόμενοι ἐκ μέσης ψυχῆς καὶ καρδίας,

ὅπως Κύριος ὁ Θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς, ἡ ἐνυπόστατος σοφία τοῦ Θεοῦ καὶ πατρὸς, ὁ πάντων τῶν ἀγαθῶν χορηγὸς, διὰ τῆς ἀπειροδυναμίας αὐτοῦ καὶ Θείας προνοίας ἐπιστηρίξῃ τὸ παρ' ἡμῶν ἤδη ἐκπονηθὲν διδασκαλεῖον αὐτὸ, οὗτινος αὐτὸς μόνος ἀρχηγὸς καὶ τελειωτὴς ὑπάρχων, διαφυλάξῃ ἀκλόνητον καὶ ἀδιάσειστον καὶ ἀπαράθραυστον ἕως τῆς συντελείας τῶν αἰώνων, φωτίζων, στηρίζων καὶ συνετίζων ἄνωθεν τούς τε διδάσκοντας καὶ τοὺς διδασκομένους ἐν αὐτῷ, τούς τε ἐπισκεπτομένους καὶ συγκροτοῦντας καὶ βοηθοῦντας, προνοουμένους τε καὶ ὑπερασπιζομένους αὐτοῦ καὶ φροντίζοντας τῆς συστάσεως αὐτοῦ, διαμονῆς τε καὶ αὐξήσεως φιλαρέτως καὶ φιλοθέως· τὸ γὰρ φιλάρετον πάντως ἐστὶ καὶ φιλόθεον. Ὅς δ' ἂν τῶν πάντων ὀψέ ποτε, εἴτε τοῦ ἱεροῦ καταλόγου ὑπάρχων, εἴτε τῆς κοσμικῆς πολιτείας, πανούργῳ τινὶ καὶ ὑπούλῳ τῷ τρόπῳ, ἐν ἀποκρύφοις ἢ ἀναφανδὸν, εἴτε φθόνῳ καὶ κακίᾳ βαλλόμενος εἴτ' ἄλλῳ τινὶ πάθει πληττόμενος ἐπιχειρήσει διασεῖσαι τὸ φροντιστήριον αὐτὸ, δι' ἐπιβουλῆς τε σατανικῆς, ἀνατροπήν τινα ποιῆσαι, ἢ ἀφαίρεσιν, ἢ μείωσιν τῶν προσδιορισθέντων εἰς κυβέρνησιν αὐτοῦ, καὶ δοῦναι αἰτίαν ἠντιναοῦν τοῦ καταλυθῆναι αὐτὸ καὶ προξενηθῆναι τῷ Γένει ἡμῶν ἐξάμβλωσιν, ἀδλεψίαν τε ψυχῆς καὶ ἀπώλειαν, ὡς ἐχθρὸς τοῦ καλοῦ, θεομάχος τε καὶ διώκτης τῆς ἀρετῆς καὶ τοῦ Γένους ἐπίβουλος, ἀφωρισμένος εἴη ἀπὸ τῆς παναγίας καὶ ζωαρχικῆς Τριάδος, τοῦ ἑνὸς τῇ φύσει μόνου Θεοῦ, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι, καὶ τῷ αἰωνίῳ ἀναθέματι ὑπόδικος καὶ ἔνοχος τοῦ πυρὸς τῆς γεέννης. Ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ παράστασιν τῆς ἐπισυστάσεως τοῦ θεοσώστου αὐτοῦ φροντιστηρίου κατεστρώθη καὶ τὸ παρὸν ἐν τῷ ἱερῷ τῷδε κώδηκι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας, κατησφαλισμένον συνοδικῶς ταῖς τῶν συμπαρόντων ὑπογραφαῖς. Χιλιοστῷ ἑξακοσιοστῷ ἐννενηκοστῷ πρώτῳ. Ἰουλίῳ. Ἰνδικτιῶνος ΙΔης.

»Καλλίνικος ἐλέῳ Θεοῦ Ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως, Νέας Ρώμης καὶ Οἰκουμενικὸς Πατριάρχης.

»Δοσίθεος ἐλέῳ Θεοῦ Πατριάρχης τῆς Ἁγίας πόλεως Ἱερουσαλὴμ καὶ πάσης Παλαιστίνης.

» Ὁ Ἐφέσου Θεοφάνης, ὁ Ἡρακλείας Νεόφυτος, ὁ Κυζίκου Κύριλλος, ὁ Νικομηδείας Παρθένιος, ὁ Χαλκηδόνος Γαβριὴλ, ὁ Λαρίσσης Παρθένιος, ὁ Ναυπάκτου καὶ Ἄρτης Μελέτιος, ὁ Σμύρνης Γρηγόριος, ὁ Ἀγχιάλου Δανιὴλ, ὁ Δρύστρας Ἀθανάσιος, ὁ Νέων Πατρῶν Ἰωάσαφ, ὁ Βυζίης Ζαχαρίας, ὁ Ῥόδου Παρθένιος, ὁ Χίου Γρηγόριος, ὁ Ραιδεστοῦ Παχώμιος, ὁ πρώην Λακεδαιμονίας Θεοδώρητος, ὁ Μέγας Οἰκονόμος, ὁ μέγας Λογοθέτης Ἰωάννης Καρυοφύλλης, ὁ μέγας Χαρτοφύλαξ Μπαλάσης, ὁ μέγας Ἐκκλησιάρχης Ραλάκης, ὁ Δικαιοφύλαξ Σπανδωνῆς, ὁ Λογοθέτης Χουρμούζιος, ὁ Ρήτωρ Μανουὴλ, Λικίνιος Ἀκέστωρ, Θωμᾶς Τζουκῆς, Κωνσταντῖνος Χρυσόσκουλος, Κωνσταντῖνος Τζουκῆς, Δράκος Εὐπραγιώτης.»

Πρὸς τὸν ἀξιάγαστον δ' εὐεργέτην τοῦ Γένους Μανωλάκην, ᾧ ὅμοιον τῇ αὐτῇ ἐλευθερίῳ προαιρέσει ἐπὶ συστάσει Σχολείων, ἕτερον μετ' αὐτὸν οὐκ εἶδε τὸ Γένος, Ἐλευθέριός τις τότε Τραπεζούντιος ταῖς τοῦ Μανολάκη χορηγίαις ἀναμφιβόλως ἐκπαιδευθείς, στέφανον ἐξ ἡρωελεγείων πρὸς αὐτὸν ἔπλεξε τόνδε :

Ἡμετέρης γραπτῶς νίμτσις καὶ μῶμος ἀπέστω,
Βένθος ἐς ἁπλώτου κύματος οἰχόμενος·
Αἰνεῖν γὰρ δὴ καί Σ' ὀλβίστατε δῖε Μανουὴλ,
Ἄρξομ' ἀριζήλου Καλλιόπης χάριτι·
Οὕνεκα τῆς δ' ὑποφήτας ἐπώτρυνας εἰς ἓν ἀγείρας
Μούσης ὠγυγίης λείψαν' ἀποφθιμένης.
Ἠδ' ἱερῆς Σοφίης ἐρικυδέα θυμὸν ἀνῆψας·
Λαμπρὸν ἐς εὐμαθίην φέγγος ἀμειψόμενος.
Φύτλης θ' ἡμετέρης χαλεπὴν σκοτόμαιναν ἔλυσας
Δεινὴν δυσμαθίης ἀχλὺν ἀπωσάμενος.
Τῷ τοι καὶ τεὸν οὔνομα ἄφθιτον ἔσσεται ἀεὶ,
Ἀθανάτῳ μνήμῃ συμπαρατεινόμενον.
Ζώῃς ἐς λυκάβαντας ἀπείρονας, ὦ Πτολεμαῖε
Ὀψίτερε, Στεφάνων ἄξι' ἀοιδοτέρων.

(Ἑλασ. Συγγρ. σελ. 359—3.)

ΜΑΡΚΟΥ ΕΥΓΕΝΙΚΟΥ ΑΝΕΚΔΟΤΟΙ ΛΟΓΟΙ.

(Συνέχεια, ἴδε προηγούμενον τεῦχος.)

Ἐπὶ τούτοις τὰς παρ' ὑμῶν εἰρημένας χρήσεις ἔκ τε τῆς τῶν Μακκαβαίων βίβλου, καὶ τοῦ Εὐαγγελίου θεωρούντων ἡμῶν, ἁπλῶς τε καὶ φιλαλήθως εἰπόντων, μηδεμίαν ἐν αὐταῖς ἐμφαίνεσθαι κόλασιν, οὔτε μὴν κάθαρσιν, ἀλλ' ἢ μόνον ἁμαρτιῶν ἄφεσιν. Διαίρεσίν τινα θαυμαστὴν ὑμεῖς ἐποιήσασθε, πᾶσαν ἁμαρτίαν εἰπόντες εἶς τε τὴν πρόσκρουσιν αὐτὴν τοῦ Θεοῦ διαιρεῖσθαι, καὶ τὴν ἐπακολουθοῦσαν αὐτῇ τιμωρίαν· ὧν τὴν μὲν πρόσκρουσιν ἀφίεσθαι, μετὰ τὴν συντριβὴν καὶ ἀποκήρυξιν τοῦ κακοῦ, τὴν δὲ ἐνοχὴν τῆς τιμωρίας ὀφείλεσθαι πάντως, ὡς ἀνάγκην εἶναι ἐκ τούτου τοῦ λόγου τοὺς ἀφιεμένους τῶν ἁμαρτιῶν ἔτι καὶ δι' αὐτὰς κολάζεσθαι. Ταῦτα μὲν οὖν ὅτι τοῖς ἐναργέσι καὶ ὁμολογουμένοις μάχονται, λέγειν ἐῶμεν· οὔτε γὰρ βασιλεῖς ὁρῶμεν μετὰ τὸ δοῦναι τὴν ἀμνηστίαν καὶ ἄφεσιν ἔτι καὶ κολάζοντας τοὺς ἡμαρτηκότας, οὔτε θεὸν αὐτὸν πολλῷ μᾶλλον, οὗτινος τῶν γνωρισμάτων φιλανθρωπία ἐστὶ τὸ ἐξαίρετον· ἀλλὰ μετὰ μὲν τὴν ἁμαρτίαν κολάζοντα, μετὰ δὲ τὴν ἄφεσιν εὐθὺς καὶ τὴν κόλασιν λύοντα· καὶ τοῦτο εἰκότως· εἰ γὰρ τὸ προσκροῦσαι Θεῷ ποιεῖ τὴν κόλασιν, τοῦ αἰτίου λυθέντος, καὶ τῆς καταλλαγῆς γενομένης, καὶ τὸ αἰτιατὸν, ὅπερ ἐστὶν ἡ κόλασις, ἐξ ἀνάγκης συνδιαλέλυται. Οὕτως ὁ μὲν Τελώνης, μετὰ συντριβῆς προσευξάμενος, οὐκ ἀφείθη τῶν ἁμαρτιῶν μόνον, ἀλλὰ καὶ δεδικαιωμένος κατῆλθε· ταύτην δὲ εἰπεῖν οὐδεμιᾶς κολάσεως ἔτι δεόμενος· ὁ δὲ Μανασσῆς ἐν τῇ Παλαιᾷ ὁμοῦ τε προσηύξατο μετὰ ταπεινώσεως, καὶ τῆς συγχωρήσεως ἔτυχε, καὶ τοῦ ζώγρου διαρραγέντος ἐν ᾧ κατείχετο, πρὸς τὴν Ἰουδαίαν ἐν ἀκαρεῖ μετετέθη θείᾳ δυνάμει, καὶ τὴν ἑαυτοῦ βασιλείαν αὖθις ἀπέλαβεν· οἱ Νινευῖται δὲ μεταγνόντες οὕτως ὀξέως ὁμοῦ τε τὴν ἁμαρτίαν ἔλυσαν δηλονότι, καὶ τὴν ἠπειλημένην τιμωρίαν ἐξέφυγον· ὁ δὲ ἐν τῷ Εὐαγγελίῳ Παραλυτικὸς, πρότερον τὴν τῶν ἁμαρτιῶν ἄφεσιν κομισάμενος, εὐθὺς ὡς ἐπομένην αὐτῇ τὴν τοῦ σώματος ἀνόρθωσιν προσελάβετο. Καὶ τί δεῖ καταλέγειν τὰς ἱστορίας ἁπάσας, ἐφ' οὕτω σαφεῖ καὶ ὁμολογουμένῳ πράγματι ; Πλὴν ἀλλὰ πόθεν λαβόντες ὑμεῖς τὴν τοιαύτην διαίρεσιν ὡς ἀναγκαίαν τινὰ καὶ καθολικὴν παρεδήκατε ; τίς εὐαγγελιστὴς, ἢ ἀπόστολος, ἢ τῆς Ἐκκλησίας διδάσκαλος, τοιοῦτόν τι γέγραφε πώποτε ; πῶς πεῖρα τοῦτο παρέστησεν ; οὐ γὰρ δὴ τὸ τοῦ Δαβὶδ ἱκανὸν, ὃς ἀφείθη μὲν τῆς ἁμαρτίας, τῆς ἐπὶ μοιχείᾳ καὶ φόνῳ, τὸν δὲ γεννηθέντα υἱὸν ἀπεβάλετο ; καὶ γὰρ δὴ κἀκεῖνος ἀφείθη μὲν τῆς ἁμαρτίας τελείως, καὶ δῆλον ὅτι καὶ τὸ προφητικὸν οὐκ ἀπέβαλε χάρισμα, μικρὸν δέ τινα ποινὴν ἔτισε, οὕτω τοῦ Θεοῦ κρίναντος, ἢ λύπην μᾶλλον καὶ οὐ ποινὴν, ἴσως καὶ δι' ἄλλας αἰτίας συγχωρηθεῖσαν, ἃς καὶ ἐπὶ τοῖς πλείστοις τοῦ πρὸ ὥρας ἁναρπαζομένων νηπίων, οἱ διδάσκαλοι λέγουσιν· ὁ γὰρ δὴ μετ' αὐτὸν γενόμενος παῖς ἐκ τῆς αὐτῆς γυναικὸς, οὐκ ἔζησε μόνον, ἀλλὰ καὶ τὴν βασιλείαν τοῦ πατρὸς διεδέξατο, καὶ οὗτος ἦν Σολομὼν ὁ σοφώτατος. Τὸ γοῦν ἐπ' ἐκείνου γενόμενον καθολικῶς ἀξιοῦν καὶ οἴεσθαι ἐκ τούτου, τὴν ἄφεσιν

τῆς προσκρούσεως εἶναι μόνης, τὴν δὲ τιμωρίαν ἐξ ἀνάγκης ὀφείλειν ἕπεσθαι, παντελῶς ἀπᾴδον τῇ καινῇ ψήφῳ καὶ τῇ τῶν πραγμάτων φύσει, καὶ οὐδὲ ὑμῖν αὐτοῖς σύμφωνον· εἰ γὰρ ἡ ἄφεσις τῆς αἰτίας ἐστίν, ἥτις ἐστὶ λώβη κατὰ τὰς ὑμετέρας φωνάς, ἀπολειφθεῖσα ἐν τῇ ψυχῇ μετὰ τὸ προσκρουῦσαι τῷ δημιουργῷ, τί ἂν ἔτι καθάραι ἡ κόλασις, τῆς λώβης ἐκείνης διὰ τῆς ἀφέσεως καθαρθείσης ; Εἰ μὲν γὰρ καθάπαξ ἡ ἄφεσις ἄνευ τιμωρίας οὐκ ἠδύνατο κάθαρσιν ἐμποιεῖν, εἶχεν ἂν τὸ εὔλογον ὁ ὑμέτερος λόγος· εἰ δ' ἡ πρώτη τε καὶ μεγίστη καὶ τελεωτάτη διὰ τοῦ βαπτίσματος τῶν ἁμαρτιῶν ἄφεσις ἡ αὐτὴ καὶ παντός ἐστι ῥύπου κάθαρσις, καὶ τιμωρίας πάσης ἀπαλλαγή, τίς ἡ ἀνάγκη μὴ καὶ τὴν ἄφεσιν ταύτην τὸ δύνασθαι καθαίρειν ἔχειν, ἀλλὰ τῇ τιμωρίᾳ μόνῃ τοῦτο λογίζεσθαι ; Πρὸς δὲ τοῖς εἰρημένοις φαμὲν ὡς οὐδ' ἄλλων τῇ ὑμετέρᾳ δόξῃ συμβάλλονται τὰ ἀναγεγραμμένα ῥητά· τὸ μὲν γὰρ ἐκ τῶν Μακκαβαίων ληφθὲν ὅτι οὐ περὶ μικρᾶς τινος ἁμαρτίας, ἀλλὰ περὶ μεγίστης καὶ θανασίμου, ὁ ἱλασμὸς ἐκεῖνος ὑπὲρ τῶν τεθνεώτων καὶ ἡ θυσία γέγονεν ὡς εἴρηται· τὸ δὲ εὐαγγελικὸν ὅτι τῷ βλασφημήσαντι οὐκ ἀφεθήσεται, οὔτε ἐν τῷ νῦν αἰῶνι, οὔτε ἐν τῷ μέλλοντι, οὐ πάντως εἰς τὴν ὑμετέραν φέρει διάνοιαν, ὡς τότε τῆς ἀφέσεως διδομένης· ἀλλ' ἐκεῖνο δηλοῖ ὅτι τινῶν μὲν ἁμαρτιῶν ἐνταῦθα κολαζομένων, τινῶν δὲ ἐν τῷ μέλλοντι βίῳ, τῶν δὲ καὶ ἐν ἀμφοτέροις, ἡ τοιαύτη παντάπασιν ἀσύγγνωστος οὖσα καὶ ἀσυγχώρητος κἂν τῷ παρόντι κἂν τῷ μέλλοντι βίῳ τὴν ἀπαραίτητον δίκην ὑφέξει.

Ἰστέον δὲ ἡμῖν ἤδη πρὸς τὸ μέγιστόν τε καὶ κυριώτατον τῶν ἀγωνισμάτων, ὅπερ ἐστὶν ἡ τοῦ ἀποστολικοῦ ῥητοῦ δύναμις· ταύτης γὰρ μόνης ἐξῆπται σχεδὸν τοῖς λατινικοῖς διδασκάλοις ἡ τοῦ καθαρσίου δόξα πυρός. Ὅτι μὲν οὖν πολλῶν ὄντων παρ' ἡμῖν τοῖς γραικοῖς τῶν τὴν ἱερὰν Γραφὴν ἐξηγησαμένων ἁγίων ἀνδρῶν, ὧν ἐστι τὸ κεφάλαιον Ἰωάννης ὁ τὴν γλῶτταν χρυσοῦς, οὐδεὶς εἰς τὴν τοιαύτην ἦλθεν, οὐδ' ἐξέλαβεν ἐκ τῆς ἀποστολικῆς φωνῆς τὸ παρ' ὑμῶν δοξαζόμενον καθάρσιον πῦρ ὁμολογούμενον εἶναι καὶ παρ' ἡμῖν φαίνεται· οὐδὲ γὰρ τοιαύτην ἑρμηνείαν τῶν ἡμετέρων τινὸς παρεδήκατε, καὶ ὅτι διαφόρως οἱ ἅγιοι τὰ ῥητὰ τῆς Γραφῆς ἐξηγοῦνται, καὶ τοῦθ' ὡμολογημένον ἐστίν, οὐ ταῖς λέξεσι μόνον ἐπὶ διαφόροις ἐννοίαις χρώμενοι καθάπερ ἡ ὑμετέρα σοφία τὴν τοῦ Λέοντος λέξιν, καὶ τὴν τῆς πέτρας παρέθηκεν, τοῦτο γὰρ τῆς Γραφῆς ἐστιν ἴδιον, ἀλλὰ καὶ νοημάτων σύνθεσιν ὁλοκλήρων, ἐπὶ διάφορα, πολλάκις δὲ καὶ τἀναντία μεταχειρίζοντες, ὅπερ ὁ μὲν μακάριος Ἰωάννης ὁ Χρυσόστομος τὴν τῶν Ἀποστόλων σὺν τῷ Χριστῷ καθέδραν, ἀξίαν τινὰ μόνην σημαίνειν ἐνόμισε, καὶ τὴν τῶν φυλῶν τοῦ Ἰσραὴλ κρίσεν ἀντὶ τῆς κατακρίσεως ἐξεδέξατο· οὔτε γάρ φησι συγκαθεδοῦνται ἄνθρωποι τῷ πάντων κριτῇ καὶ Θεῷ, οὔτε κρινοῦσιν, ἀλλὰ κατακρινοῦσιν ἁπλῶς, ὥσπερ οἱ Νενευῖται καὶ ἡ βασίλισσα Νότου τὴν τῶν Ἰουδαίων πονηρὰν γενεάν, οἱ δὲ λοιποὶ διδάσκαλοι, καὶ συγκαθέδρους τοῦ Δεσπότου Χριστοῦ, καὶ συνδικαστὰς τοὺς Ἀποστόλους καὶ δέχονται καὶ καλοῦσιν· ἆρ' οὐκ ἐναντία ταῦτα δοκοῦσι ; Ἀλλ' οὐδὲν θαυμαστόν, εἰ ἐπὶ τινων ὑποθέσεων, καὶ δογμάτων τῶν μὴ καιρίων πρὸς διάφορον ἕκαστος ἐπηνέχθη διάνοιαν, οὕτω τοῦ λογικοῦ κρίναντος, ἢ τῆς δόξης ὑποβαλλούσης, ἢ τοῦ καιροῦ καὶ τῶν ἐνεστώτων πραγμάτων, ἢ τῆς τῶν ἀκροατῶν δυνάμεως καὶ βουλήσεως ἀπαιτούντων· οὕτω τοίνυν καὶ τὸ προκείμενον τοῦτο ῥητὸν, εἰκὸς μέν ἐστι διαφόρους δέξασθαι ἑρμηνείας, τῶν τε παρ' ἡμῖν, καὶ τῶν παρ' ὑμῖν διδασκάλων· ὅτι δὲ ἡ τοῦ μακαρίου πατρὸς Ἰωάννου τοῦ Χρυσοστόμου πάντων ἐστὶν ἀκριβεστέρα τε καὶ ἀληθεστέρα, οὐκ ἀπὸ τῆς ἀξίας αὐτοῦ καὶ ὑπεροχῆς μόνον, ἀφ' ἧς αὐτῷ καὶ ὁ μέγας ἀπόστολος Παῦλος ἐφάνη διομιλούμενος, οὐδ' ἀπὸ τῆς πρὸς αὐτὸν συμφωνίας τῶν λοιπῶν παρ' ἡμῖν διδασκάλων ἰσχυριζόμεθα, ἀλλὰ καὶ ὅτι μάλιστα πάντων οὗτος τῇ ἀποστολικῇ διανοίᾳ κατὰ τάξιν καὶ ἑφεξῆς ἀκολουθῶν φαίνεται, καὶ οὐ καθ' ἓν τῶν ῥητῶν ἀποτεμνόμενος ἰδίᾳ καὶ ἑρμηνεύων, ἀλλ' ἄνωθέν τε καὶ ἐξ ἀρχῆς κατὰ τὸν ἀποστολικὸν σκοπὸν, ὁλόκληρον καὶ συνυφασμένον, ὥσπερ ἓν σῶμα τὴν ἑρμηνείαν ἀποδιδούς· ἔστιν οὖν συνιδεῖν τῷ βουλομένῳ παντὶ, κατὰ τοῦτον δὴ μάλιστα τὸν ἀποστολικὸν σκοπὸν, καὶ τὴν ἐξ ἀρχῆς πρόθεσιν, ἀκριβεστέραν εἶναι τῆς Χρυσοστομικὴν ἑρμηνείαν ταύτην, ἣν ἡμεῖς εἰσάγομεν τῆς παρ' ὑμῶν λεγομένης τε καὶ δοξαζομένης.

Οἱ γὰρ Κορίνθιοι, πρὸς οὓς ἡ ἐπιστολὴ παρὰ τὸν καιρὸν τῆς ἀπουσίας τοῦ Ἀποστόλου, πρὸς ἀλλήλους σχιζόμενοι, καὶ ἄλλοι ἄλλον διδάσκαλον προβαλλόμενοι, τῶν πλούτῳ τε καὶ σοφίᾳ τῇ ἔξω λαμπρυνομένων (καὶ γὰρ πολὺ τὸ κλέος ἐν τοῖς τοιούτοις εἶχον) καὶ σφόδρα ἐπ' αὐτοῖς ἐτετύφωντο, πρὸς μείζονα διάστασιν ἐκ τούτου μετὰ μικρὸν καὶ φιλονεικίαν ἐξῆγον, καὶ διὰ τοῦτο καὶ τὸν λαβόντα τὴν μητρυιὰν ἀνεπιτίμητον παρεώρων· ἦν δὲ καὶ οὗτος τῶν διδασκάλων ἐκείνων εἷς, ἐφ' οἷς μέγα ἐφρόνουν, καὶ τηλικούτῳ περιπεπτωκὼς ὀλισθήματι, τῆς διδασκαλικῆς ἀξίας ὅμως ἀντεῖχετο, σύστημα ἔχων ὑφ' ἑαυτὸν οὐκ εὐκαταφρόνητον, τῇ ἔξω σοφίᾳ καὶ τῷ πλούτῳ θαρρῶν. Ταῦτα τοίνυν ὁ θεῖος Ἀπόστολος διορθῶσαι βουλόμενος, πρῶτον μὲν κοινὴν πρὸς πάντας ποιεῖται τὴν παραίνεσιν καὶ τὴν ἐπιτίμησιν, καὶ παρακαλεῖ τὸ αὐτὸ λέγειν, καὶ μὴ ἔχειν σχίσματα, μηδὲ προσνέμειν ἑαυτοὺς ἄλλον ἄλλῳ τῶν διδασκάλων, οὓς ἀνωνύμως δηλῶσαι βουλόμενος, ἕκαστος ὑμῶν, φησὶ, λέγει, ἐγὼ μὲν εἰμὶ Παύλου, ἐγὼ δὲ Ἀπολλῶ, ἐγὼ δὲ Κηφᾶ, ἐγὼ δὲ Χριστοῦ, καὶ τὸν Χριστὸν τούτοις συντάττων, ἐκτρεπτικῶς, ὡς δέον ἅπαντας εἶναι μόνον Χριστοῦ, καὶ μηδενὸς ἄλλου προσονομάζεσθαι, μηδ' αὐτῶν τῶν κορυφαίων ἐν ἀποστόλοις· ταῦτα γάρ φησι μετεσχηματίσα εἰς ἐμαυτὸν καὶ Ἀπολλῶ, ἵνα ἐν ἡμῖν μάθητε τὸ μὴ ὑπὲρ ὃ γέγραπται φρονεῖν. Ἔπειτα τὸ τῆς ἔξω σοφίας φρύαγμα καθαιρεῖ, καὶ ὡς αἰτίαν αὐτὴν τῶν σχισμάτων ἐκβάλλει τῆς Ἐκκλησίας, κένωσιν αὐτὴν ὀνομάζων τοῦ σταυροῦ τοῦ Χριστοῦ, καὶ μωρίαν παρὰ τῷ Θεῷ καὶ εἴτι τοιοῦτον. Εἶτα τὴν τῶν διδασκάλων συντέλειαν, ὡς μικρὰ δυναμένην ἐξευτελίζει : Τίς γάρ ἐστι Παῦλος, φησὶ, τίς δὲ Ἀπολλῶς, ἀλλ' ἢ διάκονοι δι' ὧν ἐπιστεύσατε, καὶ ἑκάστῳ ὡς ὁ Κύριος ἔδωκεν· ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε· ὥστε οὔτε ὁ φυτεύων ἐστί τι, οὔτε ὁ ποτίζων, ἀλλ' ὁ αὐξάνων Θεός· ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἓν εἰσὶ, τὸ πᾶν ἐστι, φησὶ, τῆς θείας δυνάμεως, ἡμεῖς δὲ πάντες ἄνθρωποι ὄντες, ὀλίγα τινὰ καὶ μικρὰ συνεισφέρομεν, οὐδὲν ἄλλος ἄλλου πλέον ἐν τούτῳ δυνάμενοι, καὶ ταῦτα δὲ τὸν μισθὸν ἐπὶ τούτοις ἀπεκδεχόμενοι : « ἕκαστος γάρ φησι τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον ». μισθωτούς τινας ἐνταῦθα τοὺς διδασκάλους φησὶν, ἵνα μὴ μέγα φρονῶσιν, ὡς ἑτέρου ὄντος τοῦ δεσπότου καὶ μισθοδότου. Καὶ ἐφεξῆς τὰ περὶ τοῦ πεπορνευκότος ἐκείνου διδασκάλου προανακρούσασθαι βουληθεὶς, ὃν ἐν τοῖς ἔμπροσθεν ἀποτέμνει, καὶ τῷ Σατανᾷ παραδίδωσι : Θεοῦ, φησιν, ἐσμὲν συνεργοὶ, οὐ γὰρ ἴδιον ἔργον ποιοῦμεν, ἀλλὰ τῷ τοῦ Δεσπότου συνεργοῦμεν βουλήματι· Θεοῦ γεώργιον ὑμεῖς ἐστε οἱ μαθητευόμενοι, Θεοῦ οἰκοδομή, πρὸς ἑτέραν μεταφορὰν ἀπὸ τῆς γεωργίας τὸν λόγον μεταγαγών, διὸ καὶ ἑαυτὸν ἀρχιτέκτονα ὀνομάζει κατὰ τὴν τοῦ Θεοῦ χάριν, ἐπαίρων ἑαυτὸν ἤδη, καὶ τὴν ὑπεροχὴν ἐμφαίνων, ἅτε ἐπιθυμῆσαι σφοδρότερον καὶ ἀπειλῆσαι βουλόμενος : Ἐγὼ μὲν οὖν, φησὶ, τὸν θεμέλιον τέθηκα, καὶ τὴν εἰς Χριστὸν πίστιν κατεβαλόμην, αὕτη γάρ ἐστιν ὁ θεμέλιος, ἄλλος δὲ ἐποικοδομεῖ, τοὐτέστιν ἕκαστος τῶν παρ' ἡμῖν διδασκάλων, βλεπέτω δὲ ὁ τοιοῦτος πῶς ἐποικοδομεῖ. Πρὸς τὸν πεπορνευκότα λοιπὸν ἐμφαντικῶς ἀποτείνεται, βλεπέτω, φησὶν, ἕκαστος εἰ σύμφωνα τὰ ἔργα τοῖς τῆς διδασκαλίας λόγοις, καὶ τῷ κειμένῳ θεμελίῳ παρέχεται : διὰ τῶν ἔργων γὰρ μάλιστα ἡ οἰκοδομὴ τῶν διδασκάλων συνίσταται, καὶ ταῦτα αὐτὴν ἐξαίρουσι. Μὴ οὖν ἁπλῶς ὅ,τι οἰκοδομεῖ σκοπείτω, μηδ' ἐκ τούτου πλέον τι ποιεῖν νομιζέτω, ἀλλ' ὁποῖά ἐστι τὰ οἰκοδομούμενα λογιζέσθω, διὰ πυρὸς γὰρ ταῦτα δοκιμασθήσεται κατὰ τὴν ἡμέραν ἐκείνην· ποίου πυρός ; ὃ ἐνώπιον τοῦ Θεοῦ προπορεύεται κατὰ τὸ εἰρημένον ὑπὸ Δαβὶδ, ὃ τοὺς μὲν ἁγίους καὶ ἀγαθοὺς διδασκάλους, τοὺς τὰ λαμπρὰ τῶν ἔργων ἐπὶ τῷ θεμελίῳ τοῦ Χριστοῦ ἐποικοδομοῦντας ὑποδεξάμενόν τε καὶ δοκιμάσαν ἐπιλαμπρυνεῖ, καὶ φωτεινοτέρους ἐργάσεται, καὶ διὰ τὴν τοῦ ἔργου διαμονὴν καὶ λαμπρότητα μισθοῦ πρόξενον, ἅτε δὴ κεκοπιακόσιν αὐτοῖς γενήσεται, τοῖς δὲ ξύλα, χόρτον, καλάμην, ἄτιμον ὕλην καὶ εὔπρηστον, καὶ τῷ καλῷ θεμελίῳ ἀπᾴδουσαν ἐποικοδομήσασιν, οἷος ἦν ὁ πεπορνευκὼς ἐκεῖνος, καὶ ἔτι διδάσκαλος εἶναι βουλόμενος, οὐ μόνον οὐδεὶς μισθὸς τῆς διδασκαλίας δοθήσεται, ἀλλὰ καὶ τὸ ἔργον, αὐτὸ τῆς διδασκαλίας κατακτήσεται, ἅτε δὴ ἐκ τοιούτων συνυφασμένον πράξεων, ζημίας οὐχὶ μισθοῦ γενήσεται πρόξενον· οὐδὲν γὰρ τοιοῦτον ἔργον, οὐ δὲ διδασκαλία τοιαύτη τὸ πῦρ ἐκεῖνο ὑφίσταται· αὐτός γε μὴν

ὁ τοιοῦτος διδάσκαλος οὐ συνδιαφθαρήσεται τῷ οἰκείῳ ἔργῳ, ἀλλὰ σωθήσεται καὶ παραμενεῖ, καὶ τῷ κριτῇ παραστήσεται, καὶ λόγων ὑφέξει τῶν πεπραγμένων, καὶ τὴν ἀλώνην ὑποστήσεται δίκην, μηδὲν τοῦ ἔργου τῆς διδασκαλίας ἐκείνης ἅτε διαφθαρείσης ὀνάμενος· « οὕτως γάρ φησι σωθήσεται ὡς διὰ πυρός, τοῦ τὴν τοιαύτην ὕλην ἐμπιπρῶντος καὶ κατακαίοντος, καὶ σωθήσεται σωτηρίαν ἀπωλείας χείρονα· βέλτιον γὰρ ἦν αὐτῷ, εἰ μὴ δὲ ἐγένετο, μηδὲ τότε ἐσώθη τοιαύτην ὕλην ἐπιφερόμενος, καὶ ἐφεξῆς ἐπάγει σαφῶς ὅτι ἤδη περὶ τοῦ πεπορνευκότος τὸν λόγον ποιούμενος. Οὐκ οἴδατε ὅτι ναὸς Θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν ; εἴτις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός· ὁ γὰρ ναὸς τοῦ Θεοῦ ἅγιός ἐστιν, οἵτινες ἐστὲ ὑμεῖς » · καὶ ἐπειδὴ σοφὸς ἦν ἐκεῖνος καὶ ἐπὶ τὸ διδάσκειν, ἐφρόνει, ὡς ἐντεῦθεν τὴν δίκην διαφευξόμενος συνημμένως εὐθὺς ἐπάγει, μηδεὶς ἑαυτὸν ἐξαπατάτω, εἴτις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ μωρὸς γενέσθω, ἵνα γένηται σοφός· ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι.

ΑΙ ΚΑΤΗΧΗΣΕΙΣ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΘΕΟΔΩΡΟΥ τοῦ ΣΤΟΥΔΙΤΟΥ

νῦν πρῶτον ἐκδιδόμεναι ἐκ τοῦ ἐν τῇ Βιβλιοθήκῃ τῆς ἐν Χάλκῃ Θεολογικῆς Σχολῆς εὑρισκομένου χειρογράφου

ΥΠΟ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΦΑΛΑΡΕΤΟΥ ΒΑΦΕΙΔΟΥ.

ΠΡΟΛΕΓΟΜΕΝΑ

(Συνέχεια, ἴδε προηγουμένων τευχος.)

Ταῦτα πάντα καὶ πλεῖστα ἕτερα πολλοὶ τῶν νεωτέρων ὑπ' ὄψιν ἔχοντες καὶ ἀμεροληπτότερον τὴν ἱστορίαν ἡμῶν κρίνοντες, εὐμενῶς λίαν ἐκφράζονται περὶ τῆς ἡμετέρας Ἐκκλησίας. Τὸ βυζαντινὸν πνεῦμα, λέγει τις τῶν περὶ τὰ ἡμέτερα ἀσχολουμένων (1) στερεῖται βεβαίως ἰδιαιτέρας δημιουργικότητος καὶ ἀκμῆς, μετὰ θαυμασίας ὅμως σταθερότητος διακατέχει πᾶν ὅ,τι παρέλαβε, τοῦτο δὲ παραδίδωσι μετὰ αἰσθητικότητος καὶ πλαστικῆς θεωρίας. Τέχνη, φιλολογία καὶ ρητορεία τῶν Βυζαντινῶν ἔχουσί τι κοινὸν κατὰ τὸ εἶδος, διακρίνονται ὅμως κατὰ τὴν ἰδιαιτέραν λεπτότητα καὶ τὸν ὄγκον. Δὲν δύναται δέ τις πρὸς τούτοις νὰ ἀρνηθῇ τῷ Βυζαντινισμῷ μέγαν βαθμὸν καθολικότητος, ἥτις παρίστησιν ἐν αὐτῷ συνηνωμένα πάντα τὰ ἐκκλησιαστικὰ καὶ πολιτικὰ φαινόμενα, τὰ ἀλλαχοῦ διεσκεδασμένα. Καὶ αὐτὸς ὁ Γίββων ὁ τοσοῦτον οἰκτρῶς παρερμηνεύσας τὴν βυζαντινὴν ἱστορίαν καὶ παρασχὼν πλουσίαν τροφὴν τοῖς μετ' αὐτὸν ἱστοριογράφοις, προκειμένου περὶ τῶν ἐν τῇ Ἀνατολῇ γραμμάτων λέγει: οἱ Ἱερωμένοι προίσταντο τῆς παιδαγωγίας τῶν νέων· αἱ ρητορικαὶ καὶ φιλοσοφικαὶ σχολαὶ διετηροῦντο μέχρι τῆς πτώσεως τοῦ κράτους· δύναται δέ τις νὰ διϊσχυρισθῇ ὅτι τὰ τείχη τῆς Κωνσταντινουπόλεως περιέκλειον πλείους γνώσεις καὶ βιβλία ἢ ἅπασαι αἱ ἀχανεῖς χῶραι τῆς Δύσεως. Καὶ ἀλλαχοῦ: Καὶ ἐν τῇ βαθυτάτῃ αὐτῶν καταπτώσει, οἱ ὑπήκοοι τοῦ βυζαντινοῦ θρόνου κατεῖχον πάντοτε τὴν χρυσῆν κλεῖδα διὰ τοὺς θησαυροὺς τῆς ἀρχαιότητος, ὡς καὶ μουσικὴν καὶ καρποφόρον γλῶσσαν, ἐμψυχοῦσαν μὲν τὰ ἀντικείμενα τῆς αἰσθήσεως, ἐνσωματοῦσαν δὲ τὰς ἀφαιρέσεις τῆς φιλοσοφίας. (α) Καὶ ἀληθῶς τὰ γράμματα παρ' ἡμῖν, ἱερά τε καὶ μὴ οὐδέποτε παρήκμασαν· καίτοι αἱ ἐπαρχίαι τοῦ βυζαντινοῦ κράτους ἀλληλοδιαδόχως ἀφῃροῦντο, καίτοι πρὸ τῶν θυρῶν τῆς πρωτευούσης ἐστάθμευον πολλάκις πολλοὶ καὶ δεινοὶ ἐχθροί, καίτοι πολιτικαὶ καὶ θρησκευτικαὶ ἔριδες ἐτάρασσον διηνεκῶς τὸ κράτος, ἐν τούτοις πάντοτε ὑπῆρχον ἄνδρες ἱκανοὶ τοῦ βαστάσαι τὸ ὄνομα Κυρίου ἐνώπιον ἐθνῶν καὶ βασιλέων. Τὰ ὀνόματα τοῦ Μαξίμου καὶ Δαμασκηνοῦ, Ταρασίου καὶ Φωτίου, Οἰκουμενίου καὶ Θεοφυλάκτου, Εὐσταθίου καὶ Ζιγαβηνοῦ, Νικολάου Μεθώνης καὶ Καβάσιλα καὶ τοσούτων ἄλλων, μαρτυροῦσιν ὅτι ἡ παιδεία οὐδέποτε ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ ἀπεσβέσθη, ἀλλ' ὅτι οἱ πατέρες ἡμῶν πάντοτε ἐκαλλιέργουν αὐτὴν καὶ συνέγραφον ἐξηγητικὰ καὶ δογματικά, ἠθικὰ καὶ κανονικά, φιλοσοφικὰ καὶ μυσταγωγικά, ἱστορικὰ καὶ πολεμικά, καὶ ὅτι περὶ τὰ γράμματα μέχρι τῆς ἀπορράδος τῆς ἁλώσεως ἡμέρας ἀσχολούμενοι οὐ μόνον ἀλώβητα καὶ ἀκέραια διετήρησαν ἡμῖν, ἀλλὰ καὶ εἰς τὰ βάρβαρα τότε τῆς Δύσεως ἔθνη μετωχέτευσαν, γενόμενοι οὕτω ἔμμεσοι αὐτῶν ἀναμορῶται. Καίτοι, λέγει ὁ αὐτὸς Gass (ἔν. ἀν.) ὁ ἐκκλησιαστικὸς βίος τοῦ Βυζαντινισμοῦ δὲν εἶχε τόσην ζωηρότητα καὶ ἀκμὴν, ἡ Μεταρρύθμισις ὅμως τοῦ 16 αἰῶνος τρία τινὰ δὲν πρέπει νὰ λησμονήσῃ· 1) ὅτι ἡ βυζαντινὴ πολιτεία καὶ Ἐκκλησία ἔσωσε τὴν χριστιανικὴν Εὐρώπην ἀπὸ τῶν ἐξ Ἀσίας προελασάντων ἐχθρῶν· 2) ὅτι ἡ ἑλληνικὴ Ἐκκλησία ἀντιστᾶσα εἰς τὴν παπικὴν ἀπολυτοφροσύνην, ἐστήριξε διὰ πάντων τῶν αἰώνων τὴν μὴ ρωμαϊκὴν, ἀλλ' ἀληθινὴν καθολικότητα· τοῦτο δὲ τῷ Προτεσταντισμῷ ἐχρησίμευσεν ὡς ἀπόδειξις τοῦ ἱστορικοῦ αὐτοῦ δικαίου· καὶ 3) ὅτι ἡ Ἑλληνικὴ γλῶσσα καὶ ἐπιστήμη μέχρι τέλους καλλιεργηθεῖσαι καρποφόρως ἐπέδρασαν ἐπὶ τῆς Μεταρρυθμίσεως.

Τοιαύτης οὔσης τῆς ἱστορίας τῆς Ἐκκλησίας ἡμῶν κατὰ τὸν Μεσαιῶνα, παντὶ που δῆλος ὁ ζῆλος καὶ ἡ ἐπιμέλεια μεθ' ἧς πρέπει νὰ ἀσχολώμεθα περὶ αὐτὴν, ἀφοῦ δὴ διαφόρως ὑπὸ τῶν ξένων παρερμηνεύεται καὶ σχολιάζεται. Εἰς τοῦτο πρέπει νὰ ὠθῇ ἡμᾶς πρὸς τούτοις καὶ ὁ μέγας πλοῦτος τῶν θησαυρῶν καὶ μνημείων, τὰ ὁποῖα ἀνέκδοτα τέως, ἀντικείμενον σπουδαίας μελέτης καὶ ἐνασχολήσεως γινόμενα, οὐ μόνον πολλὰ τῶν ἡμαρτημένων καὶ σκοπίμως διεφθαρμένων δύνανται νὰ ἐπανορθώσωσι, ἀλλὰ καὶ πολὺ φῶς νὰ διαχύσωσι ἐπὶ τῶν πολ-

(1) Gass, Griechische Kirche in Real-Encyklopaedie von Herzog ἔκδ. Α'. Λυπούμεθα ὅτι στερούμεθα τῶν πραγματειῶν τοῦ κλεινοῦ Νεάνδρου: Programm der Bibelgeselschaft καὶ τοῦ Ὀλλανδοῦ Kist, De Ecclesia graeca, divinae providentiae teste, πολλὰ καλὰ περὶ τῆς ἡμετέρας Ἐκκλησίας περιεχουσῶν.

(2) Γίββωνος, ἱστορία τῆς πτώσεως τοῦ ῥωμαϊκοῦ κράτους, μετάφρασις γερμανικὴ τόμ. 16 σελ. 108—110. — Πρβλ. περὶ τῆς ἐν τῷ Βυζαντινῷ κράτει καταστάσεως ἐν γένει τῶν γραμμάτων καὶ τὸ ἐξαίρετον σύγγραμμα τοῦ Herren, Geschichie des classischien Literatur, καὶ Stoïkl, Geschichte der Philosophie des Mittélatters.

λῶν σκοτεινῶν μερῶν τῆς ἱστορίας ἡμῶν ἐν τῇ ἐποχῇ ἐκείνῃ. Ἡ ἀνίχνευσις καὶ ἔκδοσις τοιούτων μνημείων τῆς μεσαιωνικῆς ἡμῶν ἱστορίας, πρὸ πολλοῦ καθῆκον ἱερὸν ὑπὸ πολλῶν ἐκ τῶν ἡμετέρων θεωρηθὲν, οὐ μικρὰν τὴν ὄνησιν ἤνεγκεν εἰς τὴν ἐξακρίβωσιν καὶ ἀληθῆ κατανόησιν τῆς ἱστορίας ἡμῶν. Οὕτω μόνον, συλλέγοντες τὰ πολλαχοῦ διεσκεδασμένα λιθάρια τῆς ἐθνικῆς καὶ ἐκκλησιαστικῆς ἡμῶν φιλολογίας, θὰ ἀποτελέσωμεν τὸ μεγαλοπρεπὲς αὐτῆς μέγαρον, ὅπερ ὑπὸ τοῦ χρόνου καὶ τῆς ὀλιγωρίας κατασβολωθὲν καὶ κατερειπωθὲν, ἔργον παντὸς φίλου τῆς ἀληθείας εἶναι νὰ ἀποκαταστήσῃ εἰς τὴν πραγματικὴν αὐτοῦ λαμπρότητα. Αἱ ἰδέαι αὗται ἐκίνησαν καὶ ἡμᾶς ἵνα εἰς φῶς παραδῶμεν τὰς Κατηχήσεις τοῦ μεγάλου τῆς ἀληθείας προμάχου καὶ τοῦ μοναχικοῦ βίου καθηγεμόνος, ὁσίου πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου τοῦ Στουδίτου, αἵτινες τὸ ἐπαγωγὸν μετὰ τοῦ ἡδέος καὶ τὸ ὠφέλιμον μετὰ τοῦ χαρίεντος συνενοῦσαι ἀνέκδοτοι μέχρι τοῦδε διατελοῦσιν. Ἀλλὰ πρὶν ἢ εἰς τὸ ἔργον προβῶμεν, οὐκ ἄπο σκοποῦ θεωροῦμεν νὰ προτάξωμεν ὀλίγα τινὰ περὶ τοῦ μεγάλου τούτου ἀνδρὸς, ἐξετάζοντες αὐτὸν ὑπὸ τὰ κυριώτερα σημεῖα τῆς ἐνεργείας αὐτοῦ.

Ἐν τῇ ἱστορίᾳ τῆς Ἐκκλησίας τοιοῦτοι πολλάκις ἀναφαίνονται Πατέρες καὶ διδάσκαλοι, οἵτινες διὰ τῆς πολυμεροῦς καὶ ἀκαμάτου αὐτῶν ἐνεργείας οὐ μικρὰν καὶ τὴν τυχοῦσαν ἐπιρροὴν ἐξήσκησαν ἐπὶ τοῦ βίου καθόλου καὶ τῆς ἀναπτύξεως τῆς Ἐκκλησίας. Τὰ ὀνόματα τῶν τοιούτων ἀνδρῶν εἶναι ἐποχαὶ χαρακτηριστικαὶ τῆς ἱστορίας αὐτῆς τῆς Ἐκκλησίας, διότι ἐν αὐτῇ βλέπομεν ἐνσημαινομένην τὴν ἰδίαν αὐτῶν προσωπικότητα, διότι ἡ ἱστορία αὐτῶν εἶναι καὶ ἱστορία τῆς Ἐκκλησίας, ἡ ἀκμὴ αὐτῶν ἀκμὴ τῆς Ἐκκλησίας. Τοιούτους ἄνδρας ἀείποτε ἀπαντῶμεν ἐν τῇ ἱστορίᾳ τῆς ἀνατολικῆς Ἐκκλησίας, οὐ μόνον δὲ ἐν τῇ ἀρχαίᾳ ἀλλὰ καὶ ἐν αὐτῇ τῇ τοῦ Μεσαιῶνος καὶ μετὰ ταῦτα. Ἰδίως ἐν τῇ ἐποχῇ τῆς Εἰκονομαχίας, ἐν μέσῳ τῶν πολλάκις ἀχαρακτηρίστων ἐκείνων καὶ ἀναξίων λειτουργῶν τοῦ Ὑψίστου, οἵτινες κατὰ τὴν διάθεσιν τῶν κυβερνώντων μετήλλασσον καὶ τὴν ἑαυτῶν πίστιν, ἀναλάμπουσι τοιαῦται προσωπικότητες, αἵτινες διὰ τῆς ἰσχυρᾶς αὐτῶν βουλήσεως, τῆς μεγάλης νοητικῆς ἱκανότητος, τῆς στερρότητος τοῦ χαρακτῆρος, τῆς αὐταπαρνησίας καὶ τῆς πολυμερεστάτης αὐτῶν ἐνεργείας κατώρθωσαν νὰ διασώσωσι τὴν Ὀρθοδοξίαν, βαρέως κλυδωνιζομένην ὑπὸ τῶν μελανῶν τῆς αἱρέσεως κυμάτων. Ἐν τοῖς τοιούτοις ἀναμφιρρήστως καταλεκτέον καὶ Θεόδωρον τὸν Στουδίτην, τὸν μέγαν ἐκεῖνον ἄνδρα, ὅστις ὑπὸ πολλῶν καὶ ποικίλων ἀρετῶν κατακοσμούμενος, παρίσταται ἐν τῇ ἐποχῇ ἐκείνῃ ὡς φαινόμενον σπάνιον καὶ μεγαλοπρεπὲς, προκαλοῦν τὸν σεβασμὸν πάντων, ὅστις ὡς κανὼν τῆς μοναχικῆς πολιτείας εὐθύτατος, τῆς ἀληθείας κῆρυξ μεγαλοφωνότατος καὶ ἐνθουσιωδέστατος καὶ συγγραφεὺς πολυγραφώτατος καὶ βαθύτατος, τοιαύτην ροπὴν ἐξήσκησεν ἐπὶ τῆς Ἐκκλησίας τῆς ἐποχῆς αὐτοῦ, οἵαν σπανίως διακρίνομεν ἐν τοῖς ἐπ' αὐτοῦ καὶ μετ' αὐτὸν χρόνοις. Ὑπὸ τὰς τρεῖς ταύτας ὄψεις προτιθέμενοι νὰ ἐξετάσωμεν τὸν μέγαν τῶν Στουδίου ἡγούμενον, ἀρχόμεθα ἀπὸ τῆς πρώτης.

(Ἀκολουθεῖ).

ΤΑ ΕΝ ΤΑΙΣ ΠΑΡΙΣΤΡΙΟΙΣ ΗΓΕΜΟΝΙΑΙΣ.

Ὑπὸ Μ. Δ. Χ.

12. Τὸ γράμμα ἐπικαλεῖται τὸν νομοκάνονα τοῦ Ἀριστηνοῦ, τυπωθέντα τῷ 1652.

Ἀλλὰ δὲν λέγει τίς ἐν τῇ ἐκδόσει ταύτῃ ἐπικυροῖ τὴν ἀνεξαρτησίαν τῆς Μολδοβλαχικῆς ἐκκλησίας, καὶ ἐπὶ τίνος ἐρείδεται, καὶ διὰ τοῦτο ἡ μαρτυρία αὕτη οὐδεμίαν ἔχει ἰσχύν.

13 Ἀναφέρει τὸ φιρμάνιον τοῦ Ἀπτοὺλ Χαμὶτ τῷ 1783.

Λυπηρὸν τὸ βλέπειν, ὅτι θέλουσιν ἵνα ὑποστηρίξωσι τὴν ἱεραρχικὴν ἀνεξαρτησίαν τῆς ἐκκλησίας διὰ φιρμανίου Μωαμεθανοῦ Μονάρχου.

14 Ὁ Ἡγεμὼν γράφει «οἱ ὀργανικοὶ νόμοι ἀμφοτέρων τῶν Ἡγεμονιῶν ἐπεκύρωσαν τὸ πανάρχαιον ἔθος τῆς ἡμετέρας χώρας, τοῦ νὰ ἐκλέγωνται οἱ Μητροπολῖται καὶ οἱ ἐπίσκοποι ὑπὸ ἐκτάκτων ἐθνοσυνελεύσεων, συντεθειμένων ἐκ τοῦ ἀνωτάτου Κλήρου καὶ τῶν ἀντιπροσώπων τοῦ λαοῦ».

Μενέτω τοῦτο ἀδιαφιλονείκητον· ἀλλὰ τούτου δοθέντος, ὁ Ἡγεμὼν ἐὰν θέλῃ νὰ ᾖνε σύμφωνος πρὸς ἑαυτὸν, ὀφείλει νὰ καταργήσῃ τὸν περὶ ἐκλογῆς τῶν ἐπισκόπων ὑπὸ τοῦ ὑπουργείου νόμον, καὶ ν' ἀποδώσῃ τὸ δικαίωμα τοῦτο εἰς τὸν Κλῆρον καὶ εἰς τοὺς ἀντιπροσώπους τοῦ λαοῦ.

15. Ὁ Ἡγεμὼν φρονεῖ, ὅτι εὗρε νέαν μαρτυρίαν περὶ τοῦ αὐτοκεφάλου τῆς Μολδοβλαχικῆς ἐκκλησίας ἐν ἰδιαιτέρῳ τινὶ γεγονότι ἐν καιρῷ τῶν διωγμῶν τῆς ἐκκλησίας τῆς Τρανσυλβανίας· ἐπειδὴ ὁ μοναχὸς Ἀθανάσιος δὲν ἠδύνατο ἵνα ἐπιτύχῃ τῆς ἐπισκοπικῆς χειροτονίας, ὁ Πατριάρχης Ἱεροσολύμων ὡδήγησεν αὐτὸν ἵνα ὑποταγῇ τῷ ἐξάρχῳ τῆς Οὐγγροβλαχίας, ἤτοι τῷ Μητροπολίτῃ τοῦ Βουκουρεστίου.

Ἡ ἐξαιρετικὴ ὅμως αὕτη περίστασις δὲν ἀποτελεῖ νόμον. Ὁ Πατριάρχης δὲν ἔδωκεν ἄδειαν δυνάμει δικαιώματος, ἀλλὰ συμβουλὴν ἐξ ἀνάγκης. Προσέτι ὁ Πατριάρχης δὲν ἐχορήγησε τῷ Μητροπολίτῃ τοῦ Βουκουρεστίου τὸ δικαίωμα τῆς τελεσιδίκου ἀποφάσεως ἐν τοῖς συμπίπτουσι ζητήμασιν, ἀλλὰ συνεβούλευσεν αὐτὸν ν' ἀπευθύνηται πρὸς τὸν Πατριάρχην Κωνσταντινουπόλεως ἐπὶ τῶν σπουδαιοτέρων ζητημάτων.

16. Τὸ γράμμα τοῦ Ἡγεμόνος ἐρωτᾷ: πότε καὶ πῶς ἀνεδείχθη ἡ κυριαρχία τῆς Ἐκκλησίας Κωνσταντινουπόλεως ἐπὶ τῆς Μολδοβλαχικῆς.

Ἡ περὶ τούτου ἀπάντησις ἀνήκει ἰδίως τῷ Παναγιωτάτῳ Πατριάρχῃ ἀλλὰ καὶ ἐν τῷ παρόντι δύναται νὰ εὑρεθῇ ἀπάντησις τούτου, ἐν ταῖς γενομέναις ἀνωτέρω παρατηρήσεσι.

17. Ἵνα δὲ δικαιώσῃ ὁ Ἡγεμὼν τὴν ἐν τῇ Συνόδῳ εἰσαγωγὴν τῶν λαϊκῶν λέγει ἐν τῷ γράμματι· «ὁ ἅγιος Κυπριανὸς οὐδὲν ἠρέσκετο νὰ πράττῃ χωρὶς νὰ συμβουλεύηται καὶ τὸν λαόν.»

Παράδοξον συμπέρασμα! ὁ ἅγιος Κυπριανὸς ἠρέσκετο ἵνα συμβουλεύηται τὸν λαόν· ἄρα ἡ εἰσαγωγὴ τοῦ λαοῦ ἐν τῇ Συνόδῳ ἐστὶν ἐκκλησιαστικὸς νόμος καὶ δίκαιον.

18. Ἕτερον ἐπιχείρημα περὶ τοῦ αὐτοῦ· ὁ ἀποβληθεὶς ἐκ Κωνσταντινουπόλεως Πατριάρχης Νήφων πρὸς κατάπαυσιν τῶν ἐκκλησιαστικῶν ἀνωμαλιῶν ἐν Βλαχίᾳ, συνεβούλευσε τὴν συγκρότησιν Συνόδου, ἐν ᾗ παρῆσαν ὁ Ἡγεμὼν καὶ οἱ ἄρχοντες, ὁ δὲ Νήφων ἐν ταῖς συνεδριάσεσιν ἐδίδασκε τὴν πίστιν.

Ἀλλ' ἡ ἐξαιρετικὴ περίστασις δὲν ἀποδεικνύει τὸ γενικὸν δίκαιον, καὶ ἡ παρουσία τοῦ Ἡγεμόνος καὶ τῶν ἀρχόντων ἐν τῇ Συνόδῳ πρὸς ἀκρόασιν τῆς διδασκαλίας τῆς πίστεως δὲν καθιστᾷ αὐτοὺς μέλη τῆς Συνόδου.

19. Ἐναντίον τῆς γνώμης τοῦ Πατριάρχου, ὅτι ὁ Ἡγεμὼν δὲν ἔχει δικαίωμα ἵνα συγκαλῇ Σύνοδον, ὁ Ἡγεμὼν λέγει, ὅτι ὁ μέγας Κωνσταντῖνος συνεκάλεσε τὴν Α'. Οἰκουμενικὴν Σύνοδον καὶ προήδρευσεν ἐν αὐτῇ.

Ὡς πρὸς τοῦτο ἠδύνατο ἴσως νὰ σκεφθῇ, ὅτι ὁ ἰσαπόστολος καὶ μέγας αὐτοκράτωρ Κωνσταντῖνος ἀξίζει τι πλέον, ἢ ὥστε νὰ συγκριθῇ πρὸς

Μολδοβλάχον Ἡγεμόνα· ὁ Μ. Κωνσταντῖνος προήδρευσε μὲν τιμητικῶς ὡς Βασιλεὺς, ἀλλὰ κυρίως ἡ προεδρεία ἐν ταῖς ἐργασίαις τῆς Συνόδου ἀνῆκε τῷ πρεσβυτέρῳ τῶν ἐπισκόπων.

20. Τὸ γράμμα ἀναφέρει τὴν 137 καὶ 6 νεαρὰν, αἵτινες μαρτυροῦσι τὸ δικαίωμα τοῦ Βυζαντινοῦ Αὐτοκράτορος κατὰ τὰς πρὸς τὴν Ἐκκλησίαν σχέσεις· ἀλλὰ τὸ παράδειγμα τῆς τότε Αὐτοκρατορίας οὐδεμίαν ἐπιδέχεται σύγκρισιν πρὸς τὰ γεγονότα ἐν τῇ νῦν ἡγεμονείᾳ τῆς Μολδοβλαχίας· αἱ δὲ νεαραὶ συνιστῶσι πρακτικὴν ἐφαρμογὴν τῶν ὑπαρχόντων ἐκκλησιαστικῶν κανόνων, ἀλλ' οὐχὶ νεωτερισμοὺς ἐν τῇ ἀνωτάτῃ ἐκκλησιαστικῇ διοικήσει.

22. Πρὸς ἀπόδειξιν ὅτι ὁ Ἡγεμὼν ἔχει δικαίωμα ἵνα συγκαλῇ Σύνοδον, ὁ Ἡγεμὼν ἀναφέρει ἐν τῷ γράμματι τὸ παράδειγμα τοῦ Ἡγεμόνος Βασιλείου συγκαλέσαντος τῷ 1642 Σύνοδον, ἐν ᾗ κατὰ πρόσκλησιν τοῦ Ἡγεμόνος ἐλθὼν ὁ Πατριάρχης Κωνσταντινουπόλεως Πορφύριος προήδρευσεν.

Ἐὰν δὲ διὰ τοῦ παραδείγματος τούτου ἀποδεικνύεται, ὅτι ὁ Πατριάρχης οὐ κατέκρινε τὴν ὑπὸ τοῦ Ἡγεμόνος συγκάλεσιν τῆς Συνόδου, ἔτι μᾶλλον ἀποδεικνύεται ὅτι ὁ Ἡγεμὼν καὶ ἡ Σύνοδος ἀνεγνώριζον τὴν ἑαυτῶν ἐξάρτησιν ἐκ τοῦ Πατριάρχου· ἀλλὰ τὸ γράμμα λανθάνεται, ὀνομάζον Πατριάρχην τὸν Πορφύριον, ἐν ᾧ ἐκεῖνος ἦν Μητροπολίτης Νικαίας, ἀποσταλεὶς παρὰ τῆς Συνόδου Κωνσταντινουπόλεως εἰς τὴν ἐν Ἰασίῳ Σύνοδον.

22. Τὸ γράμμα τοῦ Ἡγεμόνος ζητεῖ ἵνα δικαιολογήσῃ τὴν συμβουλευτικὴν θέσιν τοῦ ὑπουργοῦ τῶν ἐκκλησιαστικῶν ἐν ταῖς συζητήσεσ τῆς Συνόδου.

Ἀλλ' ὅπερ κυρίως χρήζει δικαιολογίας ἐστὶ τοῦτο, ὅτι κατὰ τοὺς νέους νόμους οἱ ὑπουργοὶ ἄνευ τῆς μετὰ τῆς Συνόδου συσκέψεως ἐκλέγουσι τὸν ἐπίσκοπον καὶ παρουσιάζουσιν αὐτὸν εἰς τὸν Ἡγεμόνα πρὸς ἐπικύρωσιν· πῶς δὲ δικαιολογεῖ τοῦτο; ἀναφέρων τὸν διοργανισμὸν τῆς Ἑλληνικῆς καὶ Ρωσσικῆς Συνόδου.

Ἐν Πετρουπόλει, λέγει, τὰ μέλη τῆς Συνόδου διορίζονται παρὰ τῆς Κυβερνήσεως.

Ἀλλὰ τοῦτό ἐστι πᾶν ἄλλο ἢ ψῆφος ὑπουργῶν ἐν τῇ Συνόδῳ· ἐκτὸς τούτου ὁ Ἡγεμὼν ὁμιλεῖ ἐνταῦθα περὶ πράγματος, ὅπερ ἀδύνατον νὰ ᾖ ἱκανῶς γνωστὸν εἰς αὐτόν. Ἡ πρόσκλησις τῶν ἐπισκόπων ἐν τῇ Συνόδῳ τῆς Ρωσσίας κοινοποιεῖται δι αὐτοκρατορικοῦ διατάγματος, ἀλλὰ πρὸς τοῦτο λαμβάνεται ὑπ' ὄψιν ἄνευ ἐπισημότητος ἡ γνώμη τοῦ προεξάρχοντος μέλους καὶ ἄλλων πρεσβυτέρων μελῶν, ἑπομένως τὸ πρᾶγμα γίνεται τῇ γνώσει καὶ συναινέσει τῆς Ἐκκλησίας. Τῇ δὲ Μολδοβλαχικῇ Κυβερνήσει ὠφελιμώτερον ἦθελεν εἶσθαι, ἐὰν ἔστρεφε τὴν προσοχὴν αὐτῆς εἰς πρᾶγμα μᾶλλον γνωστὸν εἰς αὐτὴν, τοὐτέστιν, ὅτι ἡ ἐκλογὴ τῶν ἐπισκόπων ἐκτελεῖται ἐν συνεδριάσει τῆς ρωσσικῆς Συνόδου, μετὰ προηγουμένην δέησιν. Ἴδοὺ τί ἠδύνατο νὰ δανεισθῇ παρὰ τῆς ρωσσικῆς Συνόδου ἡ Μολδοβλαχικὴ Κυβέρνησις.

Ἐν Ἀθήναις, λέγει, οἱ ἐπίσκοποι προσκαλοῦνται εἰς τὴν Σύνοδον περιοδικῶς διὰ βασιλικοῦ διατάγματος.

Καὶ τοῦτο δὲν εἶναι ταὐτὸ πρὸς τὴν ψῆφον τοῦ ὑπουργοῦ ἐν τῇ Συνόδῳ καὶ πρὸς τὴν ἐκλογὴν τῶν ἀρχιερέων ὑπὸ τῶν ὑπουργῶν. Οἱ ἐπίσκοποι ἔχοντες ἤδη ἐνεργείᾳ τὸν βαθμὸν τοῦτον, προσκαλοῦνται ἐκ τῶν ἐπαρχιῶν εἰς Ἀθήνας, ἵνα λάβωσι μέρος εἰς τὴν Σύνοδον, καὶ τοῦτο περιοδικῶς. Κατὰ τοῦτο ἡ ἐνέργεια αὕτη τοῦ βασιλέως φαίνεται μόνον ὡς διατύπωσις καὶ οὐχὶ ὡς ἐξουσία ἐπὶ τῶν ἱεραρχικῶν πράξεων.

Τὸ γράμμα τοῦ Ἡγεμόνος λέγει, ὅτι ὁ Ἰουστινιανὸς καὶ ὁ μέγας Πέτρος ἐξέδωκαν ἐκκλησιαστικοὺς νόμους, ἐγκριθέντας παρὰ τῆς Ἐκκλησίας.

Ἀλλὰ καὶ κατὰ τοῦτο ὑπάρχει διαφορὰ μεταξὺ τῶν πράξεων ἐκείνων καὶ τῶν Μολδοβλαχικῶν πραγμάτων, καθ' ὅσον ἐκεῖναι ἐνεκρίθησαν παρὰ τῆς Ἐκκλησίας. Ὁ μέγας Πέτρος ἐζητήσατο τὴν εὐλογίαν τῶν Πατριαρχῶν, ἡ δὲ Μολδοβλαχικὴ Κυβέρνησις οὐδ' ἀπετάνθη ἐπὶ τούτῳ πρὸς τὸν Οἰκουμενικὸν Πατριάρχην.

23. Τὸ γράμμα τοῦ Ἡγεμόνος λέγει, ὅτι ἡ Δακικὴ ἐκκλησία οὐδέποτε ἠκολούθησε κατὰ γράμμα τὸν Α'. Ἀποστολικὸν κανόνα.

Τόσῳ χεῖρον δι' αὐτὴν, εἴγε ἀληθεύει τοῦτο· ἀλλ' εἶναι ἀληθέστερον, ὅτι αὕτη ἠκολούθησε τὸν κανόνα τοῦτον, τουτέστιν ἐξετέλει τηχειροτονίαν τῶν ἐπισκόπων διὰ τριῶν ἢ δύο ἐπισκόπων, ἐπειδὴ περὶ τούτου ῥητῶς ἀποφαίνεται ὁ Α'. Ἀποστολικὸς κανών.

24. Ὁ Ἡγεμὼν λέγει, ὅτι παρ' αὐτοῖς εἰς πλησιέστατον ἡμῖν χρόνον διὰ νομοθεσίας (πότε καὶ τίνος;) καθωρίσθη τὸ δικαίωμα τῆς ἐκλογῆς (τῶν ἐπισκόπων) ἐν ἐκτάκτοις συνελεύσεσι συγκειμέναις ἐξ ἐπισκόπων καὶ ἐπισήμων πολιτῶν ὑπὸ τὴν προεδρείαν τοῦ Μητροπολίτου.

Διὰ τῶν λόγων τούτων αὐτὸς οὗτος ὁ Ἡγεμὼν καταδικάζει τοὺς νέους αὐτοῦ νόμους, τοὺς ἀνατιθεμένους τὴν ἐκλογὴν τῶν ἐπισκόπων εἰς τοὺς ὑπουργοὺς, καὶ οὐχὶ εἰς τὴν Σύνοδον ὑπὸ τὴν προεδρείαν τοῦ Μητροπολίτου.

25. Ὁ Ἡγεμὼν ἀναφέρει τὰς νεαρὰς 123 καὶ 137 κατὰ τὸ 564 ἔτος περὶ τῆς ἐκλογῆς τῶν ἐπισκόπων παρὰ τοῦ Κλήρου καὶ τῶν Προύχόντων.

Περὶ τῆς σημασίας τῶν νεαρῶν ἐν τῇ Ἐκκλησίᾳ καὶ τῷ Κράτει ἐρρέθη ἀνωτέρω ὑπ' ἀριθμ. 20. προσέτι καὶ αἱ νεαραὶ αὗται ἀποδίδουσι τὴν κυριωτέραν ἐνέργειαν εἰς τὸν Κλῆρον.

26. Ἀναφέρει τὸν 6 κανόνα τῆς ἐν Σαρδικῇ Συνόδου, καὶ τὰς ἑρμηνείας τοῦ 3 κανόνος τῆς Ζ'. οἰκ. Συνόδου, καὶ τὸν 61 Ἀποστολικόν.

Ἐν τῷ κανόνι τῆς Σαρδικῆς ἐρρέθη· «ἐὰν τὰ συναθροισθέντα πλήθη παρακαλοῦεν γίγνεσθαι τὴν κατάστασιν τοῦ παρ' αὐτῶν ἐπιζητουμένου ἐπισκόπου κτλ.» Τοῦτο ἀφορᾷ μίαν περίπτωσιν καὶ οὐδόλως ἀποτελεῖ καθαρὸν κανόνα. Ὁ 3 κανὼν τῆς Ζ'. Οἰκουμεν. Συνόδου, καταδικάζει τὴν παρὰ τῶν Ἀρχόντων ἐκλογὴν τῶν ἐπισκόπων, καὶ ἀπαιτεῖ ὅπως ἡ ἐκλογὴ αὐτῶν γίνηται ὑπὸ τῶν ἐπισκόπων, οὐδεμία δὲ ἑρμηνεία δύναται ἵνα μεταβάλῃ αὐτὸν ὑπὲρ τῶν νέων Μολδοβλαχικῶν νόμων· ἡ δὲ μνεία τοῦ 61 Ἀποστολικοῦ κανόνος ἐγένετο ἐσφαλμένως.

27. Ὁ Ἡγεμὼν φρονεῖ ὅτι ἠδύνατο νὰ βασίζηται ἐπὶ τοῦ παραδείγματος τοῦ Αὐτοκράτορος Ἰωσὴφ Β'. ὅστις τῷ 1786 διώρισε τὸν ἐπίσκοπον Τζερνοβίτζης.

Λυπηρὸν καὶ ἀνοίκειον στήριγμα! Ὀρθόδοξος Ἡγεμὼν θέλει ἵνα στηρίξῃ τὸ ἑαυτοῦ δικαίωμα εἰς πρᾶξιν ἑτεροδόξου μονάρχου ἐνεργήσαντος παρὰ τὴν δικαιοδοσίαν αὐτοῦ.

28. Τὸ ὑποβάλλειν ἐπίσκοπον ἐπὶ ἐγκλήματσιν εἰς κοσμικὸν δικαστήριον πρέπει ἵνα βασίζηται οὐχὶ εἰς τὰς νεαρὰς τῆς ποτὲ Βυζαντινῆς Αὐτοκρατορίας, ἀλλ' ἐπὶ τοῦ γενικοῦ δικαιώματος τῆς ἐξουσίας τοῦ Κράτους.

Ἐνταῦθα κυρίως ὑπάρχει ἀναγκαία ἡ διαστολὴ τῶν πταισμάτων ἀπὸ τῶν ἐγκλημάτων, ὅπως μὴ καταδιβάζωνται οἱ ἐπίσκοποι δι' ἁσημάντους κατηγορίας ἢ συκοφαντίας ἐκ τῶν Θρόνων εἰς τὴν εἱρκτήν.

29. Ἐκ τῆς ἐρεύνης ταύτης ἀποδεικνύεται, ὅτι τὰ ἐπιχειρήματα ἅτινα ἐπεσωρεύθησαν ἐν τῷ ἀπαντητικῷ γράμματι τοῦ Ἡγεμόνος ὑπὲρ τῶν νέων Κανονισμῶν τῆς Μολδοβλαχικῆς Κυβερνήσεως, κατὰ τὸ πλεῖστον μέρος δὲν εἶναι ἀκριβῆ καὶ δὲν ἔχουσιν ἀποχρῶσαν ἰσχὺν, τινὰ δὲ καὶ στρέφονται ἐναντίον αὐτοῦ.

30. Ἡ ἔρευνα αὕτη ἐθεωρήθη ἀναγκαία ἐν γένει μὲν πρὸς μαρτυρίαν τῆς ἀληθείας, ἐν μέρει δὲ πρὸς ἀποκατάστασιν τῆς ἀληθείας ἐπὶ τῶν ἀφορώντων τὴν Ρωσσικὴν ἱεραρχίαν καὶ τὴν ἱστορίαν αὐτῆς, αἵτινες ἐν τῷ γράμματι τοῦ Ἡγεμόνος ἐκτίθενται ψευδῶς καὶ παραμεμορφωμένως.

(ὑπογρ.) ΙΣΙΔΩΡΟΣ Μητροπολίτης Νοβογοροδίας καὶ Πετρουπόλεως.

ΔΗΜΟΤΙΚΗ ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ ΕΚΠΑΙΔΕΥΣΙΣ.

Β.

ΠΑΛΑΤΑΣ (ἐνορία τοῦ Ταξιάρχου.)

Ἡ ἐνορία αὕτη κεῖται πρὸς δυσμὰς τοῦ Φαναρίου, ὡς

δὲ αἱ πλεῖσται ἐνορίαι τῆς Κωνσταντινουπόλεως καὶ αὕτη ἔπαθεν ἐκ πυρκαϊᾶς, ἥτις πρὸ δεκατριετίας περίπου ὅλην σχεδὸν τὴν συνοικίαν ταύτην ἀποτεφρώσασα ἐξηφάνισε καὶ τὸ ἐν αὐτῇ εἰς Ἀλληλοδιδακτικὴν Σχολὴν χρησιμεῦον οἴκημα. Ὅθεν πρὸ δεκαετίας ὅτε ἡ Κεντρικὴ Ἐκκλησιαστικὴ Ἐπιτροπὴ ἐπεμελήθη τὴν σύνταξιν στατιστικῶν πινάκων τῶν ἐν Κωνσταντινουπόλει καὶ τοῖς προαστείοις αὐτῆς σχολείων τῶν ὀρθοδόξων, ἐν τῇ συνοικίᾳ ταύτῃ ἐνυπῆρχε μικρόν τι πνευματικὸν φυτώριον παρὰ τῷ ἱεροδιακόνῳ τῆς Ἐκκλησίας, συνάγοντι παρ' ἑαυτῷ τοὺς παῖδας τῶν περιλειφθέντων χριστιανικῶν οἴκων καὶ διδάσκοντι αὐτοῖς ἀνάγνωσιν, γραφὴν, ἀρίθμησιν καὶ τὰ στοιχεῖα τῶν ἱερῶν μαθημάτων.

Καθ' ὅλην τὴν διαρρεύσασαν δεκαετίαν οἱ τῆς ἐνορίας ταύτης κάτοικοι δὲν ἠδυνήθησαν δυστυχῶς, ἵνα ἀνεγείρωσι νέον οἴκημα διὰ Σχολὴν, ὅθεν τὰ τέκνα αὐτῶν περισυνάγονται ἔν τινι παραπήγματι, χρησιμεύοντι αὐτοῖς εἰς Σχολεῖον. Βαρέως ὅμως φέροντες τὴν σπουδαίαν ταύτην ἔλλειψιν δὲν ὤκνησαν ἵνα περὶ θεραπείας αὐτῆς σκεφθῶσι, καὶ δὴ ἐπ' αἰσίοις ἐπ' ἐσχάτων ὑπὸ τῆς Α. Θ. Π. ἐτέθη παρ' αὐτοῖς ὁ θεμέλιος νέου κτιρίου, χρησιμεύσοντος εἰς Δημοτικὴν Σχολὴν καὶ Νηπιαγωγεῖον.

Σήμερον ὡς ἔχουσι τὰ τῆς ἐνορίας ταύτης ἐν τῷ διαληφθέντι παραπήγματι διδάσκονται 70 παῖδες συγκροτοῦντες δύο τμήματα: τὸ Ἀλληλοδιδακτικὸν, περιλαμβάνον 30 μαθητὰς, διδασκομένους: Ἀλφάβητον, Συλλαβισματάριον, Λεξιλογίαν, Γραφὴν ἐπὶ ἀβακίων καὶ Ἀρίθμησιν· καὶ τὸ Συνδιδακτικὸν περιλαμβάνον 40 μαθητὰς, διηρημένους εἰς Ε΄. τάξεις:

Α΄. — Ἀνάγνωσις ἐκ βιβλίων τῆς καθωμιλημένης, Προσευχητάριον, Γραφὴ ἐπὶ χάρτου, Ἀρίθμησις.

Β΄. — Ἀνάγνωσις ἐκ βιβλίων τῆς καθωμιλημένης, Μικρὰ Ἱερὰ Ἱστορία Κοραῆ, Γραφὴ ἐπὶ χάρτου, Ἀριθμητικὴ μέχρι προσθέσεως.

Γ΄.— Ἀνάγνωσις ἐκ βιβλίων τῆς καθωμιλημένης, Μικρὰ Ἱερὰ Ἱστορία Βερναρδάκη ἐκ τῆς Π. Διαθήκης, Γραφὴ ἐπὶ χάρτου, Ἀριθμητικὴ μέχρις ἀφαιρέσεως.

Δ΄. — Ἀνάγνωσις ἐκ τοῦ Γεροστάθου, Τεχνολογία μέχρι τῶν τριτοκλίτων ὀνομάτων, Ἱερὰ Ἱστορία Βερναρδάκη ἐκ τῆς Κ. Διαθήκης, Γραφὴ ἐπὶ χάρτου, Ἀριθμητικὴ μέχρι πολλαπλασιασμοῦ.

Ε΄. — Ἀνάγνωσις εἰς ἀρχαῖον κείμενον, ἐκ τοῦ Α΄. τόμου τῆς Χρηστομαθείας, Τεχνολογία ἄχρι τῶν εἰς μι, Γεωγραφία, Κατήχησις Δ. Βερναρδάκη ἡ μικρὰ, Γραφὴ ἐπὶ χάρτου ἐκ διαφόρων Καλλιγραφιῶν, Ἀριθμητικὴ μέχρι διαιρέσεως.

Ἡ ὅλη διδασκαλία γίγνεται τό γε νῦν ὑφ' ἑνὸς διδασκάλου, ἀλλ' ἡ ἐφορία σύνοιδεν ὅτι πρὸς κρείττονα καὶ μᾶλλον καρποφόρον ἐν τῇ Σχολῇ ταύτῃ διδασκαλίαν, εἷς διδάσκαλος δὲν ἀρκεῖ, ὅθεν σκέπτεται περὶ προσλήψεως καὶ ἑτέρου καὶ μεταρρυθμίσεως τοῦ ἐν αὐτῇ ἐκπαιδευτικοῦ συστήματος, ἅμα ὡς ἀποπερατωθῇ ἡ οἰκοδομὴ καὶ τὰ μέσα ἐπιτρέψουσιν αὐτῇ ἵνα ἐπιφέρῃ τὰς δεούσας βελτιώσεις.

Τὰ ἐτήσια τῆς Σχολῆς ἔξοδα ἀνέρχονται σήμερον εἰς γρ. 6,300 καλυπτόμενα ἐκ τῶν ἑπομένων προσόδων:

Ἐκ δίσκων	Γρ. 1500
Ἐξ ἐνοικίου μιᾶς οἰκίας	» 2400
» Εἰσιτηρίων τῶν εὐπόρων	» 700
Ἐκ Βαπτίσεων καὶ Γάμων	» 300
» Μουχταρικῆς σφραγῖδος	» 600
Ἐξ ἐνοικίου εἴκοσι πέντε ἄσπρων ἑνὸς καπηλείου κειμένου ἐν Φαναρίῳ	» 2400
Τὸ ὅλον	Γρ. 7900

Ὅθεν καλυπτομένων τῶν ἐξόδων μένει καὶ πλεόνασμα ἐκ γρ. 1600, εἰς ἃ ἐπιπροστιθεμένων καὶ γρ. 1800 ὡς ἔγγιστα εἰσπράξεων τοῦ τῇ Σχολῇ ταύτῃ ἀφιερωμένου ἁγιάσματος, μετὰ τὴν ἀποπεράτωσιν τῆς οἰκοδομῆς κατορθωτὴ ἔσται μικρά τις βελτίωσις τοῦ ἐν αὐτῇ συστήματος τῆς ἐκπαιδεύσεως.

Γ΄.

Ξυλόπορτα (Ξυλίνη Πύλη, ἢ τοῦ Ξυλᾶ, ἐνορία τοῦ ἁγίου Δημητρίου.)

Ἡ ἐνορία αὕτη ἐκτεινομένη δυτικῶς τοῦ Παλατᾶ ἔσω τῶν τειχῶν, ἐγγὺς τῶν Βλαχερνῶν παρὰ τὸν Κεράτιον κόλπον, διετήρει πρὸ δεκαετίας δαπάναις 20,000 κατ' ἔτος γροσίων σχολεῖον διηρημένον εἰς Ἀλληλοδιδακτικὸν καὶ Ἑλληνικὸν τμῆμα, ἐν ᾧ 106 μαθηταὶ, εἰς ὀκτὼ τάξεις διηρημένοι, ἐδιδάσκοντο ὑφ' ἑνὸς διδασκάλου μεθ' ἑνὸς παιδονόμου τὰ ἑπόμενα μαθήματα: Ἀλφαβητάριον, Γεροστάθην, ἁ. τῆς Χρηστομαθείας, ἱερὰν ἱστορίαν Γ. Γενναδίου, ἱερὰν Κατήχησιν Κοραῆ, Ζητήματα Θεολογικὰ Γενναδίου Σχολαρίου, Γραμματικὴν Καλλίφρονος, Γεωγραφίαν Δραΐκη, καὶ Ἐγχειρίδιον ἐναρέτων πράξεων Ραπτοπούλου.

Ἡ Σχολὴ αὕτη ἔκτοτε ἐχώρει καθ' ἑκάστην βελτιωμένη, καὶ πολλοὶ παῖδες ἐκ γειτονικῶν συνοικιῶν προσέτρεχον εἰς αὐτὴν, ὅτε πρὸ διετίας δεινὴ πυρκαϊὰ καὶ τὴν συνοικίαν ταύτην μαστίσασα, πολλοὺς τῶν κατοίκων αὐτῆς ἐξηνάγκασεν ἵνα εἰς ἄλλας συνοικίας μετοικήσωσιν· ὅθεν καὶ περιωρίσθη ὁ ἀριθμὸς τῶν ἐν αὐτῇ ἐκδιδασκομένων εἰς 202, ὧν 52 μὲν ἀνήκουσιν εἰς τὸ Ἑλληνικὸν τμῆμα, ὅπερ διηρημένον εἰς δύο τάξεις ἀκολουθεῖ τὸ πρόγραμμα τῆς Μ. τοῦ Γένους Σχολῆς, 150 δὲ εἰς τὴν Ἀλληλοδιδακτικὴν Σχολὴν, ἔχουσαν καὶ Νηπιαγωγικόν τι τμῆμα.

Ἐν τῷ Νηπιαγωγείῳ διδάσκονται Συλλαβισμὸς, Προσευχητάριον, Γραφὴ καὶ Ἀρίθμησις ἐπὶ Ἀβάκων καὶ Σωμασκία. Ἐν τῷ Ἀλληλοδιδακτικῷ διηρημένῳ εἰς δύο τμήματα, ἕκαστον τῶν ὁποίων ὑποδιαιρεῖται εἰς δύο τάξεις, τὰ ἑπόμενα:

ΤΜΗΜΑ Α΄. ΤΑΞΙΣ Α΄.

Ἱερὰ Ἱστορία, Προσευχητάριον, Ἀνάγνωσις ἐκ τοῦ Κολοῦ Πατρὸς, Ἀρίθμησις καὶ Γραφή.

Τμῆμα Α΄. Τάξις 6΄. Ἱερὰ ἱστορία, Ἀνάγνωσις ἐκ τοῦ Γεροστάθη, Γραμματικὴ, αἱ κλίσεις τῶν ὀνομάτων, Γεωγραφία πολιτικὴ (διηγηματικῶς), Ἀριθμητικῆς αἱ 3 πράξεις καὶ Γραφή.

Τμῆμα Β΄. Τάξις ά. Ἱερὰ κατήχησις, Ἀνάγνωσις ἐκ τῆς Χρηστομαθείας, Γραμματικῆς τὸ ά. μέρος, Γεωγραφία πολιτικὴ, Τεχνολογία, Ἀριθμητικὴ μέχρι κλασμάτων καὶ Γραφή.

Τμῆμα Β΄. Τάξις β΄. Ἱερὰ ἱστορία τῆς Παλαιᾶς Διαθήκης, Ἀνάγνωσις ἐκ τῆς Χρηστομαθείας, Γραμματικῆς τὸ ά. μέρος, ἤτοι τὸ τυπικὸν, Γεωγραφία Πολιτικὴ, Γραμματικὴ, Ἰχνογραφία, Ἀριθμητικὴ μέχρι συμμιγῶν, Τεχνολογία καὶ Γραφή.

Τοῦ ἑλληνικοῦ τμήματος προΐσταται εἷς διδάσκαλος μισθοδοτούμενος γρ. 650, τοῦ Β΄. τμήματος τοῦ ἀλληλοδιδακτικοῦ εἷς ἕτερος, λαμβάνων γρ. 450 ἐπίσης κατὰ μῆνα καὶ τέλος τοῦ Α΄. τμήματος καὶ τοῦ Νηπιαγωγείου εἷς βοηθὸς τοῦ ἀλληλοδιδάκτου, μισθοδοτούμενος μὲ γρ. 350, ὥστε εἰς μισθοὺς διδασκάλων πληρώνονται κατ' ἔτος γρ. 16800, εἰς ἃ ἐπιπροστιθεμένων καὶ γρ. 2000 κατ' ἔτος διὰ θέρμανσιν καὶ λοιπὰ ἄλλα ἔξοδα, ἡ πρὸς συντήρησιν τῆς Σχολῆς ταύτης δαπάνη ἀνέρχεται ἐτησίως εἰς γρόσια 18800.

Αὗται καλύπτονται ἐν μέρει ἐκ τῶν ἑπομένων προσόδων·

Ἐξ ἐνοικίου δύο σεσαθρωμένων οἰκιῶν, περίπου	Γρ.	1800
» εἰσπράξεως δίσκων ἐπ' Ἐκκλησίας	»	1320
» ἁγιάσματος Βλαχερνῶν	»	5400
Ἐκ τόκων ἀμετακινήτων χρημάτων	»	1720
» τῆς Ἱερᾶς Ἐκκλησίας Βαλίνου, ἀφιέρωμα ἀνωνύμου	»	240
Ἐξ εἰσιτηρίων τῶν εὐπόρως ἐχόντων	»	4000
» εἰσπράξ. ἐν τῇ ἑορ. τῶν τριῶν Ἱεραρχῶν	»	1200
» ἐπιχορηγήσεως τῆς Ἐκκλησίας τοῦ ἁγ. Δημητρίου	»	1000
Ἐκ τοῦ τόκου 40 λιρῶν	»	480
	Γρ.	17160

τάτης παιδείας τὰ διειδέστατα νάματα ἄφθονα πλημμυροῦντα καὶ μετοχετευόμενα δαψιλέστατα, ἣν αὐτὸς μὲν καὶ μητέρ' ἑαυτοῦ καὶ τιθηνὸν καὶ τροφὸν κἀπὶ τὰ ἄριστα ἀγωγὸν κἀν ταῖς κατὰ τὸν βίον ἐπί τε τὸ εὖ καὶ θάτερον μεταβολαῖς παραστάτιν εὐμενῆ καὶ σύμβουλον μὲν ἀγαθὴν εὐτυχοῦντι, παραμυθίαν δὲ ἐπὶ τὸ εὔελπι ἀνακλητικὴν καὶ ὅλως τῶν ἀγαθῶν συμπάντων παραίτιον ἐπιγράφεται, σύμπασι δὲ νεανικῶν σκιρτημάτων ἀνασταλτικήν, ἀνδρικῶν βουλευμάτων σταθμητικήν, παντός τε ἔργου καὶ πράξεως βασανιστικήν, γήρως βακτηρίαν ἐρειστικήν, ἄρχουσι καὶ ἀρχομένοις τῶν πρὸς ἀλλήλους δικαίων διδακτικὴν καὶ φρυάγματος καὶ τύφου ἐπ' εὐτυχίᾳ καὶ πλούτῳ κατευναστικήν, ὀδύνης δὲ καὶ ἀθυμίας ἐπὶ πενίᾳ καὶ δυσπραγίαις εἰς τὸ εὔθυμον καὶ φαιδρὸν μεταβλητικήν, καὶ συνάμα ἁπάσῃ ἡλικίᾳ καὶ τύχῃ τῶν δεόντων ὑφηγητικὴν ἀποφαίνεται ἐν τῷ αὐθεντικῷ αὐτοῦ περὶ ταυτησὶ τῆς σχολῆς χρυσοβούλλῳ, λόγων τε πληρεστάτῳ πανσόφων καὶ εἰσηγήσεων ἀποδεικτικῶν ὁπόσην ὀφειλάτε καθεστήκασιν οἱ τὰ κοινὰ διὰ χειρὸς ἔχοντες ὑπὲρ τῶν κοινῇ διαφερόντων τὴν σπουδὴν ἔχειν καὶ μέριμναν. Ἐν ᾧ ταῖς εἰρημέναις λαμπρότάταις προσεπιδαψιλευόμενος περὶ τὴν σχολὴν χορηγίαις καὶ ἑαυτὸν ἑαυτοῦ ἐπιδεικνύμενος, οἷον φιλοτιμότερον καὶ ἐλευθεριώτερον περὶ τὰς κοινὰς εὐποιΐας καὶ τὴν παιδείαν εὐγνωμονέστερον, ἐπειδὴ τὴν ἐν Μολδαβίᾳ ἐκείνην διὰ μακροῦ τοῦ χρόνου ἐπίμαχον γῆν Χοταρνιτζένι διαλέκτῳ τῇ τοπικῇ καλουμένην ἐπὶ τῆς λαμπρᾶς αὐτοῦ ἡγεμονίας πλεῖστα καμὼν καὶ ὑποστὰς τὰ δυσχερῆ τε καὶ ἀργαλέα τῆς σκυθικῆς ὀψὲ καὶ μόλις πλεονεξίας ἀφείλετο, ἐφ' ἑκκαίδεκα μὲν ὥρας κατὰ μῆκος ἐκτεινομένην, πλατυνομένην δὲ ἐπὶ μίαν, ἀφ' ἁδροτάτης ἰδίας καταβολῆς πρὸς τὸ ἀνακτορικὸν δημόσιον ταμεῖον ἐξωνησάμενος ὡς βασιλικὸν ἤδη πρόσκτημα καὶ ἴδιον ἑαυτοῦ ποιησάμενος δι' ἐμπεδωτικῶν ἐγγράφων τῆς κτήσεως καὶ τοῦ ἐκ ταύτης γιγνομένου κατ' ἔτος τὴν τριμοιρίαν τῇ ἐν Κων)πόλει σχολῇ προσανέθετο τῶν διδασκαλικῶν συντάξεων αὔξησιν καὶ ὑποτρόφων μαθητῶν δώδεκα σιτηρέσιον τὴν πρόσοδον ταύτην διαταξάμενος διὰ τοῦ εἰρημένου αὐθεντικοῦ χρυσοβούλλου ἀσφαλιστικοῦ τῆς ἀναθέσεως μετὰ τὴν πλατυτάτην τῆς προσκτήσεως ἔκθεσιν, ἐν ᾧ καὶ τὴν διάθεσιν τοῦ ἀναθήματος καὶ διαίτησιν, οἷς τὴν ἀεὶ ἐπιστασίαν ἐπέτρεψεν, ἐπισκήπτει ὡς ἄριστα, ὡς ἂν δὴ οὕτω τοῖς μαθηταῖς μηδεμιᾶς ὑπολελειμμένης εὐλόγου προφάσεως, ἀφ' ἧς ἂν πρὸς ἄλλα τρεπόμενοι τῶν καθ' ἡμέραν πορισμὰ ἀναγκαίων, περὶ τὸ ἔργον ἀμελῶς διατίθοιντο μερίμνης ἀπηλλαγμένοι παντοίας, πρόχειρα ταῦτα καὶ ἄσπορα τὸ τοῦ λόγου, καὶ ἀνήροτα ἔχοντες ὅλους σφᾶς ἀρωσιωμένους τῇ τῆς παιδείας ἀδιακόπῳ σπουδῇ καὶ ἐνδελεχεῖ τῶν μαθημάτων μελέτῃ προσκειμένους παρέχοιντο. Ἐπὶ τοιαύταις μὲν οὖν ταῖς ἐλπίσι καὶ πρὸς ταῦτ' ἀφορῶν προνοητικώτατα ὁ τῶν ἡγεμόνων ἡμῖν ἄριστος καὶ τῶν λόγων ἀναμφιλέκτως ἐν τοῖς καθ' ἡμᾶς χρόνοις προστάτης καὶ ἔφορος ἐπὶ τῇ ἐς ἀεὶ διαμονῇ καὶ εὐσταθείᾳ καὶ εἰς τὸ λαμπρότερον προόδῳ τῆς ἐνταῦθα σχολῆς, ἅμα δὲ καὶ τοῖς μαθηταῖς τὸ κατὰ τὴν παιδείαν ἐντελὲς πρυτανεύων καὶ ἐξευμαριζόμενος τὴν ἐπὶ τὸ ἄκρον ἀνάβασιν, τάς τε λοιπὰς μεγαλοπρεπεῖς χορηγίας εἰς ἀεὶ διαμενούσας παρέδωκε καὶ τὴν τοῦ Χοταρνιτζενίου προσεπέθηκε πρόσοδον τῆς ἐπὶ τὸ βέλτιον προόδου αὐτῆς καὶ ἐπωφελέστερον, ἐπιτάξας ἐγγράφως τὴν ἐπιμέλειαν οἵσπερ τὴν προστασίαν ἐπέθηκεν· ἀλλὰ καὶ ἐπὶ τοῖσδ' ἅπασι τὸ πλῆθος τοσούτοις καὶ τηλικούτοις τὸ μέγεθος οὐδὲν τῶν ἡγεμονικῶν ἐκείνων ἐλπίδων καὶ τῆς προθέσεως ἀνταξίων ἀποβεβήκασιν ὄφελος, οὐδὲ καρπὸς ἐς δεῦρο ἀναπέφηνεν ἀξιόχρεως, οὐδὲ τῶν μαθητῶν τις μετ' ἐτῶν ἐξ ἐκείνου τοσούτων πάροδον ἀναδέδεικται κλέος μὲν τῇ σχολῇ καὶ δίκαιον περιτιθεὶς αὔχημα, ἑαυτῷ δ' οὐκ ἐπὶ ματαίῳ δαπάνης τοσαύτης γεγενημένης ἐπίδειξιν παρεσχηκὼς εὔλογον, ἀεὶ δὲ ἐπὶ πρωτοπείροις σχεδόν τι καὶ νεοσυλλέκτοις καὶ ἄρτι τῶν τῆς παιδείας ἀπογευομένοις ναμάτων τὰ τῆς σχολῆς σαλεύοντα κινδυνεύειν, ἡμᾶς τε καὶ σύμπασαν τὴν ἱερὰν ἀδελφότητα καὶ τὸ εὐγενὲς τῶν προὐχόντων σύστημα μονονουχὶ ἀπελπίζουσα τῆς κατὰ θυμὸν ποτε τοῦ σκοποῦ ἐπιτεύξεως. Κατώδυνοι οὖν, ὡς εἰκός, καὶ ἔλλυποι ἐφ' οὕτω χωλαινούσῃ τῇ σχολῇ παρ' ἐλπίδα κἀπὶ τὸ χεῖρον ἀεὶ ὑποφερομένῃ τε καὶ ὑποπιπτούσῃ, πόνοις δὲ καὶ φροντίσι καὶ δαπανήμασι τοῖς ὑπὲρ αὐτῆς φροῦδοις τε οἰχομένοις καὶ ἐξιτήλοις διὰ τὸ ἄκαρπον ἐν συνεχέσι συλλόγοις πολλάκις ἐκκλησιαστικοῖς τε ἰδίᾳ καὶ εὐγενῶν ἐν ἑνίοις ἀνδρῶν λογίων καὶ πολιτικῶν συμπαραβρευόντων, ἐπίτηδες λόγων ἐμβαλλομένων περὶ τοῦ πράγματος καὶ ἀκριβοῦς ἐπιστασίας καὶ ἐξετάσεως γιγνομένης ἐμπερισκέπτου, τί ποτ' ἀρ' ἀφ' οὗ τὰ τῆς ἡμετέρας ταύτης σχολῆς χεῖρον ἀεί-ποτε ἔχει καὶ καταρρέει ἀθλίως ἐπὶ τὸ ταπεινόν τε καὶ ἀφανέστατον, τὸ ἀληθὲς αἴτιον μετὰ χορηγίας καὶ ταῦτα δαψιλεστάτης, εἴ πως, ἐξευρεθέντος ποτὲ, τὴν ἐνδεχομένην τοῦ δεινοῦ μηχανησαίμεθα ἔσαν καὶ ἐπινοήσαιμεν δι' ὧν ἂν πρὸ ὁδοῦ ἡμῖν καὶ κατὰ βούλησιν ἡ τῶν μαθητῶν ἐπίδοσις γίγνοιτο, οὐδὲν ἄλλο εὑρίσκομεν ἐμποδὼν προσαντοῦν τῷ τέλει καὶ ἀπ' εὐθείας ἡμῶν τῷ πόθῳ ἐναντιούμενον, ἢ τὸ ὅλως ἀνεπιτήδειον καὶ πάντη πρὸς διδασκαλίαν τε λόγων καὶ συνεχῆ μαθητείαν τοῦ τόπου ἀπρόσφορον, ὅσπερ ἐκ τῶν ἄνωθεν χρόνων διὰ περιστάσεις ἴσως ἀναγκαίων τὸ πάλαι τοῦθ' ὑπαγορευούσας τὴν σχολὴν κεῖσθαι κεκλήρωται. Τοῦτο δὲ ῥᾷστα κατάδηλον καὶ ἧκιστ' ἀμφιγνοούμενον ἀποδείξαιμεν (ζ) διεξελθόντες ἐπιτροχάδην ὁπόσα ἐκ τοῦ τόπου κωλύματα παρεμπίπτοντα τῇ συνεχεῖ τῶν μαθημάτων παραδόσει προσίστατα. Ἀφήλιος μὲν γὰρ διὰ τὴν θέσιν παντάπασι καὶ ζοφώδης καὶ τῆς ἐκ τῶν ἡλιακῶν ἀκτίνων ἀναγκαίας προσβολῆς ἐν χειμερίῳ τῇ ὥρᾳ μάλιστα καὶ ἐκ τούτων ζωογόνου ἀλέας ἄμοιρος, ἄπνους δὲ καὶ ἀπήνεμος ὅλως καὶ αὔρας παραιμυθητικῆς ἐν πνιγώδει τῷ θερινῷ θάλπει καὶ καύσωνι ἑστερημένη διὰ παντός, ὑπὸ γνοφώδει δὲ καὶ ὁμιχλώδει καὶ καθύγρῳ τῷ ἀεὶ περικεχυμένῳ ἀέρι, διαφθειρομένης ἅτε τῆς ἀτμοσφαίρας καὶ ἐξισταμένης εἰς τὸ νοσῶδες καὶ δυσκραέστατον, οὔτε θέρους ἀνεκτὴ οὔτε χειμῶνος φορητή, ἀλλ' ἐν ἁπάσαις ταῖς ὥραις ἐνοικεῖσθαι ἀνεπιτήδειος καὶ λυμαντική, νόσοις χαλεπαῖς καὶ ποικίλαις διδασκάλους τε καὶ διδασκομένους προσπαλαίειν ἐμβάλλουσα, δι' ἃς οὐδὲ τὸ πολλοστὸν τοῦ ἐνιαυτοῦ τοῖς διδάσκουσι τὴν διδασκαλίαν καὶ τοῖς ἀκροαταῖς συγχωρεῖ τὴν ἀκρόασιν. Προσεπιλαμβάνεται δὲ τοῖς εἰρημένοις εἰς τὸ συνεχῶς διακόπτεσθαι τὰ μαθήματα καὶ ἡ τῆς λοιμώδους νόσου ἐπιδημία ἐνσκηπτούσης σχεδὸν κατ' ἐνιαυτὸν ἕκαστον, τῆς σχολῆς τῇδε κἀκεῖσε τὰς μεταναστάσεις ἀναγκαιοτάτας, καὶ ταύτας ἀναλώμασιν οὐ μετρίοις παρασκευάζουσα, τῶν μαθητῶν διὰ ταύτας ἢ ἂν ἑκάστῳ ἐξῇ διασπειρομένων, εἰ δέ τινες καὶ τοῖς διδασκάλοις συμμεταναστατεῖν, καὶ τούτων ἀηδῶς ἤδη διὰ τοσαύτας τὰς δυσχερείας διακειμένων πρὸς τοὔργον καὶ ἀποκνούντων καὶ τέλος ἀποδυσπετούντων παντάπασι, καὶ ἤτοι πρὸς ἑτέρας τρεπομένων τοῦ βίου αἱρέσεις, ἤ γε, τὸ μετριώτερον, ὅσοι αὐτῶν φιλολογώτεροι κατ' ἔρωτα παιδείας εἰς σχολὰς στελλομένων ἑτέρας, ὡς ἂν μὴ κατατρίβοιντο μάτην καὶ καταδαπανῷεν ἐπ' ἀνηνύτοις τῆς ἡλικίας τὸ πρὸς μάθησιν ἔνωρον. Οὕτω δὴ οὖν ὁπόσοι μὲν ἔφθησάν πως μικράν τιν' ἐν τοῖς μαθήμασι διηνυκότες τὴν πρόοδον, ἤτοι ἀφισταμένων τὸ σύνολον ἢ μεθισταμένων ἄλλοσε ὡς ἂν δι' ἐλάσσονος τοῦ χρόνου θηράσιμον σφίσι τὸ τέλος γένηται, ἀεὶ δὲ νεηλύδων καὶ πρωτοπείρων συνερχομένων καὶ ἄρτι ἢ προσημιένων ἢ προσαπτομένων παιδείας, ἀνάγκη πᾶσα τοῖς διδασκάλοις περὶ αὐτὰ τὰ πρῶτα στοιχεῖα διὰ παντὸς καὶ τὰς ἀρχὰς ἠσχολεῖσθαι περὶ τὰ πρόθυρα εἱλουμένοις καὶ ἀμφιπονοῦσι περὶ τὴν εἴσοδον ὑπάνοιξιν. Τούτου δ' ὡς οὐδὲν ἂν εἴη τοῖς λόγοις λυμαντικώτερον καὶ τοῖς αὐτῶν ἐρασταῖς τοῦ ἔρωτος ἀπαμβλυντικώτερον ἢ πρὸς ἐπίδοσιν ὅλως κωλυτικώτερον, προδηλότατον. Καὶ ἕτερον δὲ διὰ τὸ μὴ εὔθετον τῆς σχολῆς καὶ ἀνεπιτήδειον προσκατενοήσαμεν τοῦ κακῶς καὶ ἀπ' ἐναντίας τῇ κοινῇ ἐφέσει τὰ κατ' αὐτὴν φέρεσθαι αἴτιον οὐδὲν τῶν κατηριθμημένων ὑποδεέστερον· ἁπάσης γὰρ ἡ ἐπιστήμης ἢ τέχνης καταρτιστικώτατον πάντως καὶ τελειωτικώτατον τῶν περὶ

αὐτὰς ἐμπείρων καὶ ἀκριβεστέρων ἐπισκοπὴ συνεχὴς καὶ ἐπιστασία τῶν μὲν εὐδοκιμούντων τὸ πρόθυμον ἐπαίνοις γεραίρουσα καὶ παραθήγουσα τὸ φιλότιμον, τῶν δ' ἀδοκιμωτέρων καὶ μαλθακιζομένων ἐπιτιμῶσα τῷ ἀπροθύμῳ καὶ τὸ ὀκνηρὸν ἐξελέγχουσα· καὶ πρὸς ταῦτ' ἄρα καὶ ἡ παροιμία τῶν ἵππων πιαντικώτατον τὸν βασιλέως ὀφθαλμὸν ἀποφαίνεται μέχρι καὶ τῶν φαυλοτάτων αὐτῶν τὸ τῆς ἐπιστασίας ἐνδεικνυμένη λυσιτελὲς καὶ ἐπάναγκες· καὶ διδασκάλων οὖν πάντως καὶ μαθητῶν ὑπ' ἐξεταστῶν καὶ ἐπόπταις φιλολόγοις ἀνδράσι καὶ μουσοτρόφοις συνεχῶς ἐπιδεικνυμένων ἐπαίρουσι τὸ ἐπιμελὲς καὶ γαυροτέρους παρέχονται καὶ τλητικωτέρους πρὸς τὸ πονεῖν, οἷον ἄλλα ἀποδιδόμενοι ἔπαινοι, περιποιοῦντες τοῖς ἐπαινουμένοις τὴν αὔξησιν, καὶ εἴτις ἀμελέστερον διακέοιτο καὶ ἀπροθυμότερον, μυωπίζουσαι οἷον καὶ νύττουσαι κατὰ κέντρων ὀξύτητα ἐπιτιμήσεις καὶ ἔλεγχοι, ἅμιλλαν ἐνιᾶσι τὴν περὶ τὸ καλὸν καὶ πρὸς τὸν δρόμον ἀοκνοτέρους πως διεγείρουσι· καὶ τούτου ὅμως πρὸς τὴν ἐπίδοσιν τῶν μαθητευόντων συντελεστικωτάτου καὶ ἀνυστικοῦ μάλιστα ἡ ἡμετέρα σχολὴ παντάπασι πρὸ χρόνου πλείστου ἐστέρηται, ὅσοι τοῦ γένους φιλόμουσοι καὶ περὶ λόγους σπουδάζουσι καὶ ἱκανοὶ πρὸς τὴν ὀρθὴν τῶν ἐπαίνου ἢ ψόγου ἀξίων διάκρισιν τὰς ἐν τῷ Φαναρίῳ ἀπολελοιπότων διατριβάς, καὶ ταύτας τῶν πλειόνων ποιουμένων ἐτησίους κατὰ τὸ καθ' ἡμᾶς ἤδη Κατάστενον, ὁπόθεν οὐδενὶ οὐδὲ τοῦ ἐνιαυτοῦ ἅπαξ, ἀλλ' οὐδ' ὁδοῦ πάρεργον γοῦν τῶν τῆς σχολῆς θυρῶν παρελθεῖν τὸ τοπικὸν ἐπιτρέπει διάστημα. Καὶ διδάσκαλοι τοιγαροῦν ἐκ τούτου καὶ μαθηταὶ οὔτε τὸν ἐπαινεσόμενον ἐφ' οἷς κατορθοῦσιν, οὔτε τὸν ἐπιτιμήσοντα ἐφ' οἷς σφάλλονται ἔχοντες, ἀλλ' οἱ μὲν κατορθοῦντες οὐδὲ μέχρι γε λόγων ἄθλων ἀμοιβὴν προορώμενοι, οἱ δὲ χωλαίνοντες τῆς ῥαθυμίας οὐδεμίαν δεδιότες ποινήν ἢ ἐπίπληξιν, κατὰ μικρὸν ὑποκαταπίπτουσιν ἅπαντες, καὶ κατολισθαίνουσιν ἐπὶ τὸ νωθρότερον, καὶ τοῦτο οὐκ ἀπεικότως· ὅπου γὰρ καὶ ἐπαίνων προκειμένων τοῖς ἀγαθοῖς καὶ τοῖς ἄλλοις ἐλέγχων προφαινομένων ἡ περὶ τὴν ἀρετὴν φιλοτιμία καὶ ἅμιλλα δυσκατόρθωτος διὰ τὸ ἐπίπονον, ἢ που γε ἔνθ' ἐν ἰῇ τιμῇ ἡμὲν ἐσθλὸς ἠδὲ καὶ κακός, ἐπίδοσιν ἂν τιν' εὐλόγως αὐτῆς καὶ αὔξησιν περιμένοιμεν ; (η) Τοσαῦτα γοῦν καὶ τηλικαῦτα συνιδόντες ἅπαντῶντα τὰ δυσχερῆ διὰ τὴν ἀκατάλληλον τῆς σχολῆς θέσιν τε καὶ ἀπρόσφορον, ἀφαιρούμενα μὲν τοὺς ἐν αὐτῇ τὴν ἐντελῆ κατὰ παιδείαν ἐπίδοσιν, ἀφαιρούμενα δὲ καὶ ἡμᾶς ἐλπίδα παντοίαν ἐπιτυχεῖν ποτε τῆς ἐφέσεως, τοὺς τῶν Μουσῶν ἀπαλλαξείοντες θιασώτας καὶ ὁμιλητὰς τῶν ἀνακοπτόντων αὐτῆς καὶ ἐκλυόντων τὸ σύντονον τῆς σπουδῆς καὶ εὐθυδρομεῖν πρὸς τοῦ Ἑλικῶνος αὐτὴν τὴν ἀκρώρειαν πρόθυμον, ἀναγκαιοτάτην τὴν εἰς τὸ λοιπὸν γοῦν μετάστασιν τοῦ καθ' ἡμᾶς Καταστένου ποι ἀπὸ μιᾶς σύμπαντες, οἷς τῶν κοινῶν ἀγαθῶν μέμηλεν, ἔγνωμεν, ὃ δὴ καὶ πολλοὶ μὲν ἄλλοι πολλάκις τῶν πρὸ ἡμῶν τάχα μὲν διὰ τὰς ἐκτεθειμένας, τάχα δὲ καὶ δι' ἄλλας αἰτίας προθέμενοι φαίνονται, εἰσὶ δὲ οἳ καὶ τοῦ ἀοιδίμου ἐκείνου ἡγεμόνος τοῦ ἐν τοῖς καθ' ἡμᾶς χρόνοις τὴν σωζομένην ταύτην σχολὴν συγκροτησαμένου, ὡς ἀνωτέρω ὁ λόγος ἀπέδειξε, καὶ τῆς ἐς δεῦρο διαμονῆς πρωταιτίου ἀκηκοότες διαμνημονεύουσι προὐργιαίτατον τοῦτο καὶ ὧν οὐκ ἄνευ ἀποφαινομένου καὶ δοκιμάζοντος· καὶ ὅτε δὲ τῇ κραταιᾷ βασιλείᾳ ἡρμήνευεν ὁ πᾶσαν μὲν γλῶσσαν πρὸς ἑαυτοῦ εὐφημίαν περιὼν ἔτι κινήσας εὔλογον, μνήμην δ' ἄθιον ἀπολιπὼν καὶ κλεὺς δὲ, τὸ τοῦ λόγου, εἰς αὐτὸν ἦκον τὸν οὐρανόν, ἐπειδὴ ἀπεγένετο ἅπασι μέγιστος τῷ ὄντι καὶ μεγίστων αὐτουργὸς πραγμάτων πολιτικῶν καὶ βαθυτάτης δεομένων συνέσεως καὶ πρὸς παράδειγμα μὲν τὸν πατέρα ἀποτελεσθεὶς εἰς τὸ ἀκριβέστατον, παράδειγμα δὲ ἑαυτὸν ἐν νεότητι καὶ τοῖς τελείοις τὴν ἡλικίαν ἠθικῆς καὶ πολιτικῆς ἀρετῆς προθέμενος καὶ πραγμάτων μεταχειρίσεως, ἐκεῖνος ὄντως ὁ τοῦ πατρὸς ἐκείνου υἱὸς ἀξιώτατος ὁ ἐν μακαρίᾳ τῇ λήξει Γεώργιος κατὰ ζῆλον πατρῷον ἐπὶ συστάσει τῶν συνοισόντων τοῖς λόγοις ἐκκλησιαστικῶν καὶ πολιτικῶν ἅμα πληρέστατον συναγαγὼν σύλλογον, χρηματικὴν προσπορισάμενος ἀφορμήν, τὴν μὲν οἰκοθεν, τὴν δ' ἐκ καταβολῆς τῶν αὐταδέλφων καὶ ὅσοις ἐχρῆτο οἰκειοτέροις, καὶ ταύτην τῇ σχολῇ προτανέθετο· καὶ τότε δὲ ἀναγκαιότατον ἔδοξεν ἡ ἄλλοσέ ποι αὐτῆς μετάθεσις, τόπου μέντοι ἐπιτηδείου πρὸς τὸν σκοπὸν ἀπορία τῆς ἐπιχειρήσεως ἐπεῖχε τοῦ πράγματος. Πολλοὺς οὖν ἀνελίττουσι λογισμοὺς καὶ λόγους ἀνακυκλοῦσι ποικίλους, ὅποι ποτ' ἂν εὐθυβολώτερον τὸν νοῦν τρέψαιμεν, ὡς ἀπὸ μηχανῆς τινος, μᾶλλον δὲ θείας προνοίας συνεφαπτομένης, ἀεὶ ταῖς ἀγαθαῖς τῶν προθέσεων προσφορώτατος ἀναπέφηνε καὶ παντὸς ἄλλου καταλληλότερος τόπος τῷ προκειμένῳ ἐν τῇ οἰκίᾳ περιεχόμενος τῇ κατὰ τὸν Κουρούτσεσμεν τοῦ ὑψηλοτάτου αὐθέντου Ἀλεξάνδρου Μαυροκορδάτου, ἐχόμενος μὲν αὐτῆς ἀμέσως καὶ ἀνατείνων ἠρέμα ἐπὶ τὸ ὑψηλότερον, θεωρίᾳ δὲ ἐξ ἀπόπτου θαλάσσης κατὰ πρόσωπον ὑποκειμένης καὶ κάλλει ἐπιπέδου ἐφ' ἱκανὸν ἐφηπλωμένου κήπου εὐδένδρου καὶ συνηρεφεῖ ὄπισθεν συνεχῶς ὑπερανέχοντι λόφῳ καὶ ὑφιπτιάζοντι εὐσκίῳ ἐνδιάγεσθαι πολὺ τὸ τερπνὸν διὰ παντὸς ἔχοντι διὰ τὸ ἀειθαλὲς φαιδρυνόμενος, ἀέρος τε αὔραις ἀκραιφνεστάταις ἡδείαις πανταχόθεν καταπνεόμενος καὶ ὑπὸ προσηνέσι καὶ πρωτάταις ἡλιακαῖς ἀκτῖσι τοὺς προσγειοτέρους συνισταμένους καὶ παχυτέρους νοσοποιοὺς ἀτμοὺς καὶ ἀναθυμιάσεις ἐνύγρους ἀνιμωμέναις διὰ παντὸς καὶ ἐν οἰαδήτινι ὥρᾳ τὸ ὑγιεινὸν περιποιούσαις καὶ ἄνοσον καταφωτιζόμενος, καὶ ἀγοραίας μὲν τύρβης καὶ θορύβου μετρίως ἀπωκισμένος, ἄπονον δὲ καὶ ἀπράγμονα τῶν ἐδωδίμων τὸν πορισμὸν ἐκ τοῦ ἑτοίμου παρεχόμενος· οὐ μὴν ἀλλὰ καὶ ὑπ' ὄψιν τῶν ἐπικαιροτέρων τοῦ ἡμετέρου γένους καὶ τὰ πρῶτα φερομένων ἐν λόγοις ἐκ γειτόνων οἰκούντων ἀρχιερέων τε καὶ πολιτικῶν, γιγνομένης ἀεὶ τῆς τε τῶν διδασκάλων καὶ τῶν ὑπ' αὐτοῖς ἐξετάσεως ἐπαίροιντ' ἂν εἰκότως ὁτὲ μὲν ἐπαίνοις γαυριωτικοῖς, ὁτὲ δὲ καθαπτικαῖς ἐπιπλήξεσι πρὸς ἀποστροφὴν τῶν ἐπιληψίμων καὶ τῶν ἀξιαγάστων ἐπίμονον ἐπιμέλειαν. Καὶ τί γάρ ; ἅπαντα μὲν ὁπόσα ἀπηρίθμηται περὶ τῆς ἐντὸς τοῦ Φαναρίου σχολῆς τὰ ἀμαυρωτικὰ καὶ ἐκλυτικὰ τοῦ περὶ τὴν παιδείαν ἔρωτος ἀπελήλαμένα ἐντεῦθεν, ἀθρόα δὲ οἷον ἐκ φύσεως συνερρυηκότα ὁπόσα συμβάλλεται εἰς ἐπίδοσιν, ἐχέγγυον ἡμῖν παρέχεται τὴν ἐλπίδα οὐκ εἰς μακρὰν σὺν Θεῷ ἀρωγῷ πολλοὺς ἡμῖν ἀναδεδεῖχθαι μεμυημένους ἐς ἄκρον καὶ ἐκτετελεσμένους τὰ τῆς παιδείας ἱερώτατα ὄργια· εἰ γὰρ μὴ τῷ λόγῳ ὑπενοοῦμεν δοκεῖν ὑπερβάλλεσθαι πρὸς Μουσῶν κατοικίαν ὅτι ἡ φύσις ὡς Πιέρειον ἄλλο ὄρος τὸν τόπον ἀφώρισεν εὔθετον ἐπίτηδες ἀπ' ἀρχῆς, τεθαρρηκότες ἂν ὡς ἐπαληθεύοντες εἴποιμεν. Ἀλλὰ γὰρ σοφὸς ὁ ὡς χαλεπὰ ἀποφηνάμενος τὰ καλὰ καὶ ὅσα αὐτοῖς ἀντιπίπτει δυσχερέστατα ὑπερβῆναι καὶ δυσδιάλυτα· τοιούτου γὰρ σύμπασιν ὁμαλῶς κεχριμένου τοῦ τόπου καὶ ἐπὶ προφανεστάτῃ τῇ μετ' ὀλίγον ἐντεῦθεν ὠφελείᾳ δεδογμένης αὐτοῦ τῆς ἐξωνήσεως καὶ πρὸς σχολῆς οἰκοδομὴν μηδὲν ἀναβαλομένης προσκτήσεως χρημάτων, ὅσα πρὸς τοῦτ' ἀναγκαῖα πορισμοῦ ἀμηχανίᾳ ἀντέπραττεν ὑπολείπουσα προσδοκίαν οὐδεμίαν τῆς ἐξανύσεως. Εἰ γὰρ δὴ πρὸς τὸ πρᾶγμα τῷ ὑποκειμένῳ ἀρχαίῳ ἀποχρησαίμεθα καὶ τὴν παροῦσαν ἐκδαπανήσαιμεν πρὸς τοῦτ' ἀφορμὴν ἐκ τῆς μεγαλοδώρου καταβολῆς τοῦ ἀοιδίμου ἡγεμόνος, ὡς φθὰς ὁ λόγος δεδήλωκε, καὶ τῶν φιλτάτων ἐκείνου ὑπολελειμμένην μὲν τὴν πλείστην, χαλεπῶς δὲ καὶ ταύτην καὶ γλίσχρως πρός τε τὰς διδασκαλικὰς συντάξεις καὶ τῶν ὑποτρόφων μαθητῶν σιτηρέσια καὶ ἐτησίους ἄλλας ἐξαρκοῦσαν (θ) δαπάνας, οὐκ οἰκοδομὴ τοῦτο καὶ ἐπισύστασις μὴ ὑφεστώσης σχολῆς, ἀλλὰ καθαίρεσις ἄντικρυς τῆς ὁπωσοῦν συνεστώσης καὶ κατάργησις κατεφαίνετο· εἴ γε καὶ διδάσκοντας καὶ διδασκομένους ἀποστήσει ἀναγκαίως τοῦ ἔργου ἡ παντελὴς τῶν ἀρκούντων ἔλλειψις κατηναλωμένου πρὸς τὰ δεύτερ' ἀπερισκέπτως, ὁπόθεν ὑπάρχει τοῖς κυρίοις καὶ πρώτοις ἡ σύστασις, καὶ οὕτως ἀντιπεριστάντος ἡμῖν εἰς τοὐναντίον τοῦ πράγματος, ἑαυτοῖς περιπεπτωκότες καὶ τὸ τοῦ ἐπιμηθέως πεπονθότες ἐσόμεθα· καὶ μάτην τοσαῦτα μὲν προπεπονηκότες, τοσαῦτα δὲ δε-

δαπανηκότες ἀπρομηθέστατα καὶ λόγους εἰς κενὸν τοσούτους ἐκκεχυκότες ἀνεμωλίους, ἀφ' ὧν πρὸς τῷ μηδὲν τὸ παράπαν ἀπόνασθαι καὶ κατεβλάψαμεν ἑαυτοὺς τὰ μέγιστα. Ταῦτ' οὖν ἀναλογιζομένοις εἰκότως καὶ ἀποναρκοῦσι μὲν ἐξ ἀμηχανίας καὶ ἀποδειλιῶσι πρὸς τὴν ἐπιχείρησιν τοῦ κοινῶς δεδοκιμασμένου εὐφυεστάτου εἰς τὸ σκοπούμενον τόπου τῆς ἐξωνήσεως, ἐννοουμένοις δὲ καὶ πεπεισμένοις παντάπασιν, ἐξ ὧν εἴπομεν, ὅτι τοιούτου ἤδη ἀποτυχοῦσιν (ι) αὐτοῦ, οἵου ἀνέλπιστος ἡ εἰς τὸ ἑξῆς ἐπιτυχία καὶ κτῆσις, ἀθλίως πάντως ὑποκλάζοντα τὰ τῆς σχολῆς καὶ ὑπολισθαίνοντα, καταπεσεῖται οἰκτρότατα, καὶ ἀμφοτέρωθεν ἡμῖν, εἴ τε τοῦ ἀρχαίου καὶ τῆς ἐνχερσὶν ἁφορμῆς ἀφειδήσαιμεν, εἴτε παρίδοιμεν ἢ διατεθείημεν ὀλιγώρως περὶ τοῦ τόπου τὸ εὔθετον, ὁ αὐτὸς ἐπίκειται κίνδυνος, ἐκκλησίας δίς τε καὶ τρὶς ἀποδοθείσης καὶ συνόδου συγκροτηθείσης κοινῆς εἰς διάσκεψιν, εἴ τις ἐξευρεθείη τρόπος τοῦ ἀμηχάνου ἀποκαταστατικός πως εἰς τὸ εὐμήχανον καὶ μεταβλητικὸς τοῦ ἀπόρου εἰς τὸ ἀμωσγέπως εὐμαρές τε καὶ εὔπορον, μετὰ πολλῆν καὶ συνεσκειμένην τεχνολογίαν, ἵν' οὕτως εἴπωμεν, τοῦ προκειμένου καὶ γύμνασιν, οὐδεμία ἀνεφάνη ἀποστροφὴ ἄλλη ἢ πρὸς αὐτὸν πάλιν ἐκεῖνον, ὃν καὶ προστάτην καὶ πατέρα καὶ δημιουργὸν τῆς σχολῆς εὐγνωμόνως ἐπιγραφόμεθα, ἀναδραμεῖν αὖθις τῇ διανοίᾳ καὶ παρ' αὐτοῦ διὰ τῶν αὐτοῦ τὸ ἀνύνητον ἀνυστὸν καὶ δυνατὸν τὸ ἀδύνατον διαπράξασθαι, τοῦ ἐπιβάλλοντος τῇ σχολῇ ἐκ τῆς εἰρημένης γῆς τοῦ Χοταρνιτζενίου κατὰ τὸ αὐθεντικὸν χρυσόβουλλον ἢ κατ' ἀντίδοσιν καὶ ἀνταλλαγὴν ἢ ἄλλως πως ἐξαργυρισθέντος καὶ ὑπηρετήσαντος εἰς τὴν λαμπρότητα καὶ ἀπαρτισμὸν καὶ ἐπίδοσιν εἰς τὸ τέλειον τοῦ πρὸς ὃ τὴν ἀρχὴν ἀνατέθειται καὶ τοῦ ἀναλογισμοῦ δὲ τούτου αὐτῷ αὖ ἐκεῖνο τὴν χάριν δικαίως ἂν ἔχοιμεν, ὃς ἐκ περινοίας προνοητικωτάτης καὶ τῶν περιστάσεων τοῦ ποικίλου ἐμπειρίας τὸ τοῦ μέλλοντος ἄδηλον, ὡς ἔικε, προορώμενος καὶ καταφαλιζόμενος, ἢ δυνατόν, τὸ ἀνάθημα, μετὰ πολλὰς περὶ τῆς γῆς ἐκείνης προνοητικωτάτας τὰς ἐπισκήψεις τελευτῶν τοῖς ἀεὶ ἐφεστῶσιν ἐντέλλεται, εἰ καὶ μὴ αὐταῖς λέξεσι, τῆς κατὰ καιρὸν ἐκφροντίζειν προσφόρου βελτιώσεως καὶ πρὸς τὴν σχολὴν ἐναγομένης ἐπικερδεστέρας πραγματικῆς ὠφελείας. Τούτοις δὴ οὖν ἀκριβῶς ἐπιστήσαντες καὶ τῆς ἐντολῆς τὴν διάνοιαν βαθύτερον ἐξετάσαντες, οὐδαμῶς κατενοοῦμεν ἐπωφελεστέραν ἂν ἄλλως γενησομένην καὶ πρὸς τῆς ἀναθέσεως πραγματικώτερον τὸν σκοπὸν συντελέσουσαν, καὶ πλείω τὴν εὐκλειαν τῷ ἀναθεμένῳ εἰς τὸ διηνεκὲς περιάψουσαν, καὶ μείζονος τῇ μακαρίᾳ καὶ ἀοιδίμῳ ἐκείνου ψυχῇ τῆς εὐφροσύνης αἰτίαν ἀναφανησομένην, ἤ γ' εἰ τὴν σχολήν, ἥσπερ ἐπὶ συστάσει που ἀφωσίωται ἐπὶ ξυροῦ ἱσταμένην καὶ φερομένην ῥύθην εἰς τὸ μὴ ὂν στήσασα ἀνορθώσειε (καὶ ὅσον οὔπω παρόντ' ἀποκρουσταμένη τὸν κίνδυνον ἀναλάβοι) (ια) καὶ ἀνασώσειε καὶ ἐξ ἀναθήματος τῇ σχολῇ σχολὴ ἀναδειχθείη αὐτόχρημα καὶ ἐκ μωτίας. ἐφείσθω γὰρ ἐνταῦθά γε φωνῇ τῇ μολδαβικῇ ἀποχρήσασθαι καιρικαῖς ἀνωμαλίαις περιπιπτούσης ἔσθ' ὅτε εἰς τὸ πάντη ἀλυσιτελὲς καὶ ἀνώνητον, μουσεῖον καὶ Μουσῶν τέμενος καὶ μουσοτρόφων ἀνδρῶν ἐνδιαίτημα. Ἀπὸ τοιούτων οὖν λογισμῶν ἐπαιρόμενοι καὶ ἀνενδοιάστως ἑαυτοὺς διαβεβαιούμενοι καὶ πείθοντες ἀδιστάκτως ὡς οὐδεμία ἐκ τῆς κοινῆς ταυτησὶ γνώμης καθ' ὁμόφροσύνην καὶ κρίσεως ἀποτολμᾶται παράβασις ὧν ὁ ἀοίδιμος ἡγεμὼν περὶ τῆς γῆς ἐκείνης διέθετο, ἀλλὰ κατ' αὐτοῦ τοῦ σκοποῦ τῆς ἀναθέσεως ὡς εὐστοχώτατα βάλλομεν εἰκότως διατεινόμενοι καὶ τὴν ἀνάθεσιν ταύτην ἐπὶ τὸ λαμπρότερον μεταφέρομεν, καὶ μετατιθέντες ἐπ' αὐτὸ ἐκεῖνο τὸ δι' ὃ ἀγαθὴ ἀφ' ἑαυτῆς τοῦ λοιποῦ, ἀλλὰ μὴ κατ' ἀναφορὰν ἐν τοῖς ἀγαθοῖς τετάχθαι μνηστεύομεν, διὰ πατριαρχικῆς ἡμῶν συνοδικῆς ἐπιστολῆς γνώμῃ καὶ προτροπῇ ἁπάντων τῶν ἐπ' εὐγενείᾳ καὶ λόγοις γνωριμωτάτων τοῦ ἡμετέρου γένους ἀνεθέμεθα καὶ τὰς αἰτίας προεκθέμενοι ὡς οἷόν τε ἀκριβέστατα τῷ ἤδη τὴν μολδαβίαν θείᾳ μοίρᾳ ἐγκεχειρισμένῳ ἡγεμονίαν ὑψηλοτάτῳ καὶ μεγαλοπρεπεστάτῳ αὐθέντῃ Ἰωάννῃ Ἀλεξάνδρῳ Κωνσταντίνῳ Μουρούζῃ τῆς πατρῴας ἀρετῆς καὶ φιλοκαλίας καὶ περὶ τὰ κοινῇ συντείνοντα καὶ λυσιτελῆ ἁπλέτου ζήλου καὶ προθυμίας καὶ τῆς κατὰ τὸ ἦθος ἡγεμονικῆς ἐλευθεριότητος οὐχ ἧττον διαβόχῳ ἢ τοῦ ἡγεμονικοῦ θρόνου καὶ ζώσῃ ὡς ἀληθῶς εἰκόνι τοῦ πατρὸς καὶ ἐκμαγείῳ ἀπαραλλάκτῳ τοῦ φύσαντος ὡς τά τε ἐν Ο γγροβλαχίᾳ καὶ Μολδαβίᾳ πολυτελέστατα καὶ μεγαλοπρεπῆ ἐπ' ὠφελείᾳ κοινῇ ἀναθήματα καὶ τὰ ἐν τῇ βασιλευούσῃ ταύτῃ πόλει ἴδια καὶ δημόσι' εὐεργετήματα ἑαυτοῦ τε καὶ τοῦ πατρὸς ἄξια παριστῶντα τρανώτατα καὶ τῶν φθόνῳ κατόχων παντάπασι καὶ ἀκόντων τὴν γλῶσσαν κινεῖ πρὸς θαυμασμὸν αὐτοῦ καὶ ἀνάρρησιν· ἅπερ οὖν ἀπὸ μιᾶς, ὡς εἴρηται, δέδοκτο σύμπασιν ἀναθέμενοι τῇ δι' ἀρετὴν μᾶλλον ἢ τὴν ἡγεμονίαν περιφανεστάτῃ αὐτοῦ ὑψηλότητι τὴν τῆς παιδείας μικροῦ δεῖν παντελῆ ἐντεῦθεν ἀποδυρόμενοι καὶ τῶν λόγων στέρησιν, τὴν παρ' αὐτοῦ ἐζητούμεθα συνδρομὴν καὶ ἀντίληψιν, ἀξιώσει παρακαλοῦντες τῇ κοινῇ ἐπινεῦσαι καὶ τὴν τοῦ Χοταρνιτζενίου συμψηφίσασθαι ἀνταλλαγματικὴν ἢ ὁπόταν ἂν ἄλλην τὸ βάθος ἐγκρίνῃ τῆς ἑαυτοῦ ἀγχινοίας τε καὶ φρονήσεως ἀποτίμησιν, ὡς ἂν ἐκ ταύτης τὸ ἀραρὸς καὶ εὐσταθὲς ἐκμηχανηθῇ τῇ σχολῇ καὶ τὸ λαμπρὸν περιποιηθῇ καὶ περιφανὲς καὶ ἐπίσημον, ἐφ' ᾧ τῷ ἀοιδίμῳ αὐτοῦ πατρὶ, τοσαῦτα καὶ ἐκπεπόρισται καὶ πεπόνηται καὶ μεγαλοπρεπῶς καταβέβληται· ἡ δὲ περιφανεστάτη καὶ περίβλεπτος αὐτοῦ ὑψηλότης τοῦ κοινοῦ ζήλου προσηκαμένη τὸ ἔνθερμον καὶ δικαιὰς καὶ τῆς ὑπὲρ τῶν συνοισόντων τῇ σχολῇ φροντίδος ἡμᾶς ἀγασθεῖσα καὶ ἀναγκαίαν μὲν αὐτῆς συνεπικρίνασα τὴν μετάθεσιν, συνδοκιμάσασα δὲ καὶ τοῦ τόπου τὸ εὔθετον καὶ κατάλληλον, οὐκ ἀνεκτὴν ἐποιεῖτο τὴν συγκατάθεσιν τῆς τοῦ πατρῴου ἀναθήματος ἀνταλλαγματικῆς ἐπὶ τούτῳ ἢ ὁποιασοῦν ἀφαιρέσεως, ἀλλ' ἀνιαρὸν μὲν τὸ πρᾶγμα ἐτίθετο, ὅτι καὶ ἐν ἡγεμονίᾳ, οὐκ ἔχει ὅμως τὰ ἐκ τῶν περιστάσεων τῷ ἦθει συνεργὰ καὶ συνέριθα· ἢ γὰρ ἂν ἀφ' ἑαυτοῦ προσεπεμέτρησεν ἥδιστα ὑπόσ' ἀπαιτεῖται πρὸς τὴν τῆς ἐπικειμένης χρείας ἐκπλήρωσιν, τολμηρὸν δ' ὅλως ἡγούμενος εἰ ἐκ συγκατανεύσεως αὐτοῦ τοῖς πατρῴοις ἐνταλμασιν παρεκτροπή τις ἐπιγένοιτο καὶ παράβασις, ἐμμελῶς ἅμα καὶ εὐπρεπῶς ἅπαντας ὑποπαρῃτεῖτο τῆς ἀνανεύσεως· καὶ τοῦτο δὲ τεκμηριοῖ μάλιστα εὐγνωμονύνην υἱοῦ ὀφειλομένην πρὸς τὸν πατέρα καὶ εὐλαβοῦς περὶ τὰ δεδογμένα ἐκείνῳ χαρακτηριστικὴν διαθέσεως. Ἀλλ' οὖν ἡμῶν οὐδέν τι μᾶλλον ἀνιέντων, ἀλλ' ἐντονώτερον ἐγκειμένων λιπαρεστέραις ταῖς παρακλήσεσι καὶ ὑπ' ὄψιν ἀγόντων καὶ ἀποδεικνύντων οὐκ ἀγενέσιν ἐπιχειρήμασιν οὐκ ἀνατροπὴν ἢ ἀθέτησιν ταύτην, ἀλλ' ἐμπέδωσιν μᾶλλον καὶ ἐπὶ τὸ λῷον μετακόσμησιν καὶ μεθαρμογήν, οἷα δὴ ἀφορῶσαν πρὸς τῆς κατὰ τοῦ πρανοῦς καὶ κατάντους φορᾶς τῶν κατὰ τὴν σχολὴν τὴν ἐπίσχεσιν οὐκ ἐπὶ πολὺ πάντως ἀνθεξόντων ἢ περιγενησομένων τῆς ἀπὸ τοῦ ἀναθήματος ἐκείνου βοηθείας, εἰ ἀποτύχοιεν, ἀναπέπεισται τέλος ἐκβιασθεὶς ὑπὸ τῆς ἀνάγκης καὶ ταῖς ἁπάντων ὡς τοῦ εὐλόγου ἐχομέναις δυσχεραίνων μὲν καὶ ἄκων, ἀλλ' οὖν ἐπικαμφθεὶς ἱκεσίαις, πρὸς τὰ κοινῇ ἐγνωσμένα ἐνέδωκε καὶ τῇ σχολῇ ἐφῆκεν ἀντ' ἀναθήματος τοῦ Χοταρνιτζενίου ἀνατεθεῖναι ἀνάθημα ἕτερον, ὃν ἐπ' οἰκοδομῇ νεοδμήτῳ (ιβ) δεδοκιμάκαμεν τόπον ἔχειν εὐφυέστατα σύμπαντες. Ἐπεὶ δ' εὐθὺς ταῦτά θ' ἡμῖν ἐπιστείλας ἐπέτρεψε καὶ τοῖς ἐκλαμπροτάτοις καὶ περιφανεστάτοις μπεγζαδέσι, τῷ αὐταδέλφῳ αὐτοῦ κυρίῳ Δημητρίῳ καὶ τῷ φιλτάτῳ υἱῷ κυρίῳ Κωνσταντίνῳ, συμπράξασθαι τὴν τοῦ τόπου ἐξωνήσεως πρόσκτησιν καὶ τὴν πρὸς τὴν ἀναγκαίαν ἐκ τοῦ παραχρῆμα οἰκοδομῆν ἐπέταξεν ἐπιμέλειαν, κοιναῖς μὲν εὐλογίαις τὴν αὐτοῦ ὑψηλότητα κατεπέφαμεν καὶ ταῖς ὑπὲρ αὐτοῦ ἐκτενέσιν εὐχαῖς πρὸς τὸν Θεὸν ἡμειψάμεθα, ἄρπαγμα δὲ ἢ ἔρμαιον τὴν αὐθεντικὴν ποιησάμενοι συγκατάθεσιν, ὅλους ἑαυτοὺς τῷ ἔργῳ προστεθέμεθα· προσφιλοτιμησάμενοι δέ πως καὶ τὰ παρ' ἑαυτῶν συνεισενεγκεῖν εἴς τε τὸ ἐπωφελέστατον τῷ γένει, ἢ δυνατὸν καταστῆσαι τὸ πρᾶγμα, καὶ τὴν ἐνδεχομένην περιθεῖναι λαμπρότητα πρὸς τῷ ἐπὶ τῇ σχολῇ

ἀφωρισμένῳ τόπῳ μετὰ τῆς ἐν αὐτῷ οἰκοδομῆς διὰ τὸ ἐφ' ὑψηλοῦ κεῖσθαι εὐηνέμου καὶ εὐηλίου καὶ πάντοθεν μὲν περιόπτου, ἀπαραπόδιστον δὲ παρὰ τοῦτο τῇ ὁράσει, ἐφ' ὅσον ἐξικνεῖται, παρεχούσης ἀνὰ πᾶσαν μὲν ἐτησίαν ὥραν, μάλιστα δ' ἦρος, καὶ τερπνοτάτην τὴν θεωρίαν, καὶ τὸν οἶκον αὐτὸν τοῦ ὑψηλοτάτου αὐθέντου κυρίου Ἀλεξάνδρου Μαυροκορδάτου καὶ ὅλην τὴν περιέχουσαν αὐτὸν ἐφ' ἱκανὸν ἡπλωμένην εὐρυχωρίαν ἅμα τοῖς ἐνῳκοδομημένοις αὐτῇ λοιποῖς σύμπασι, καὶ τὸν ἐκτὸς δὲ αὐτῆς τόπον καὶ ἐπ' αὐτὴν τὴν θάλασσαν κείμενον συνωνησάμενοι ἔκ τε καταβολῆς τοῦ κοινοῦ τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ ἐξ ἀρχιερατικῆς φιλοτίμου συνεισφορᾶς καὶ ἐράνου φιλογενῶν ἄλλων καὶ φιλοκάλων, θέρους πατριαρχικὴν οἴκησιν ἀπεδείξαμεν, πλεῖστον ὅσον ἐκ τοῦ εἰκότος τὸ κόσμιόν τε καὶ εὔτακτον καὶ σεμνοπρεπὲς τῆς σχολῆς καὶ μεγίστην κἀκ τούτου τὴν ἄλλην ὠφέλειαν προορώμενοι· ἀνάγκη γάρ, δηλαδή, πᾶσα τοῦ ἀεὶ πατριάρχου ἐν τῷ καινῷ τούτῳ πατριαρχείῳ ἐαρίζοντος καὶ θερίζοντος, τάχα δὲ καὶ τὸ πλέον τῆς μετοπωρινῆς ὥρας διάγοντος, διδασκάλους τε καὶ διδασκομένους ὑπ' ἐφόρῳ καὶ ἐπισκόπῳ τῷ πατριάρχῃ καὶ ὀπτῆρσι καὶ θεαταῖς καὶ ἐξετασταῖς τοῖς καθ' ἡμέραν ὡς ἐκεῖνον φοιτῶσιν ἀρχιερεῦσί τε καὶ ἐκ συστήματος τοῦ πολιτικοῦ, ἑαυτοὺς καταστέλλειν ἀεὶ καὶ ῥυθμίζειν ἐπὶ τὸ μᾶλλον σεμνὸν καὶ εὔσχημον καὶ χρηστόηθες, καὶ ἐπιμελέστερον ἐχομένους τοῦ ἔργου, καὶ σπουδαστικώτατα ἀμφὶ τὰ σπουδῆς προσέχοντας ἄξια, τοὺς παρὰ πάντων ἐπαίνους καὶ τῆς ἀρετῆς θηρᾶσθαι τὰ ἔπαθλα· καὶ τούτου μέντοιγε καὶ ἀναγκαιοτάτου ἄλλως τῷ γένει καὶ τῇ σχολῇ συντείνοντος μάλιστα παρὰ δικασταῖς γε καὶ μετρίως δικαίοις ὁ ὑψηλότατος καὶ περιφανέστατος ἡγεμὼν κύριος Ἀλέξανδρος Μουρούζης, πρωταίτιος ἂν κρίνοιτο δικαιότατα ἀφορμὴν ἅτε τὴν πρώτην ἡμῖν παρασχόμενος. Ἡ μὲν οὖν πατριαρχικὴ αὕτη ἐν Κωνσταντινουπόλει σχολὴ οὕτως ἐπὶ τὸ βέλτιον μεταρρυθμηθεῖσα καὶ μετακοσμηθεῖσά γε ἀνθρωπίνως, ἀφ' ἧς ὁ μὲν ἀοίδιμος ἐκεῖνος ἡγεμὼν ἀνεθέμενος γῆς ἀφορμὴν καταλέλοιπεν, ὁ δ' ἄξιος ὡς ἀληθῶς τῆς ἐκείνου (ιγ) διαδοχῆς ἀνταλλαξάμενος ἐπικεχορήγηκε, λαμπροτάτας τὰς ἐλπίδας καθυπισχνεῖται τῆς ἐς τοὔπιὸν ἐπιδόσεως. Ἡμεῖς δ' αὐτὴν καὶ κτῆμα καὶ ἔργον καὶ σύστημα τῆς πανεκλάμπρου μουρουζικῆς οἰκίας ἀναμολογοῦντές τε καὶ ἀνακηρύττοντες, τὸ παρὸν ἡμέτερον πατριαρχικὸν ἐκδεδώκαμεν σιγίλλιον κατεστρωμένον ἔν τε τῷ κώδικι τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας καὶ ἐν τῷ τῆς Σχολῆς ὡς ἂν ἐν αὐτῷ ἀναγράπτων ἀνακειμένων ὑπόσων ἐκεῖθεν καὶ ἡλίκων τὸ εὐσεβὲς ἡμῶν γένος καὶ ἀπολέλαυκε καὶ ἀπολαύει τῶν εὐεργεσιῶν, ἐπαίροιντο μὲν ὅσοι προσῆκε πρὸς τὴν τῶν ἀγαθῶν ἀνδρῶν μίμησιν, εἴ γε κατ' ἐκείνους αὐτοῖς δι' εὐφήμου παρὰ τοῖς εὖ φρονοῦσι τῆς γλώσσης ἄγεσθαι καὶ περιΐδεσθαι μέμηλεν· ἡλικία δὲ ἡ μὲν καθ' ἡμᾶς τῆς μὲν ψυχῆς τοῦ ἀοιδίμου (ιδ) ὑπερεύχοιτο διὰ παντὸς πρὸς τὸν κύριον ἐν σκηναῖς δικαίων καταταχθῆναι καὶ ὅπου καθαρὸς ἦχος τῶν μακαρίων ἑορτάζόντων, τῷ δ' ὑψηλοτάτῳ υἱῷ γῆράς τε λιπαρὸν καὶ τὰ πάντα λαμπρότατον καὶ ἄρθονον τῶν λοιπῶν ἀγαθῶν τὴν ἐπιρροήν, οἱ δ' ἐπιγενησόμενοι πλείσταις ὅσαις καὶ λαμπροτάταις τοῦ μουρουζικοῦ γένους διαδοχαῖς ἀμῤῥωφορεῖς ἀφορμὰς πρὸς τὴν δι' ἔργων τῆς προγονικῆς ἐξαιτοῖντο θεόθεν ἀρετῆς μίμησιν. Κοινῇ οὖν ἁπάντων γνώμῃ τῆς τε περὶ ἡμᾶς ἱερωτάτης συνόδου καὶ σύμπαντος τοῦ πανεκλάμπρου καὶ εὐγενεστάτου συστήματος τοῦ ἡμετέρου γένους ἐπικυροῦντες ἐν τῷ παρόντι τὴν κατὰ κοινὴν προτροπὴν καὶ παράκλησιν γεγενημένην ταύτην τοῦ Χοταρνιτζενίου ἀνταλλαγὴν διὰ τῆς γεγονυίας παρὰ τῆς αὐτοῦ ὑψηλότητος ἀῤῥᾳς χρημάτων ποσότητος καταβολῆς ἐπὶ προσκτήσει τοῦ εἰρημένου τόπου ἐπιτηδειότατα, ὡς δέδεικται, ἔχοντος πρὸς σχολήν, ἀποφαινόμεθα τὴν εἰς τὸ διηνεκὲς ἀσφάλειαν καὶ διαμονήν, μηδεμίαν τὸ σύνολον ἐχούσης τοῦ λοιποῦ τῆς καθ' ἡμᾶς ταύτης σχολῆς μετοχὴν τῶν εἰρημένων τριῶν μεριδίων τῆς διαληφθείσης τοῦ Χοταρνιτζενίου μωσίας, ὡς ἀντ' ἐκείνης ἀνταλλαγματικῶς ἀνατεθειμένου τοῦ ἐν ᾧ ἤδη μετῳκίσθη καὶ ἀνῳκοδόμηται (ιε) τόπου (*).

Ἐν ἔτει σωτηρίῳ ᾳωδ' κατὰ μῆνα ἰανουάριον ἐπινεμήσεως ζ' (ις').

† ΚΑΛΛΙΝΙΚΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

† ὁ Ἐφέσου Διονύσιος
† ὁ Κυζίκου Ἰωακεὶμ
† ὁ Δέρκων Γερμανὸς
† ὁ Προύσης Ἄνθιμος
† ὁ Ἀγκύρας Δανιὴλ
† ὁ Ἡρακλείας Μελέτιος
† ὁ Νικομηδείας Ἀθανάσιος
† ὁ Δράμας Παρθένιος
† ὁ Χίου Μητροφάνης
† ὁ Προϊλάβου Παρθένιος

Πρὶν προβῶμεν εἰς ἀνάλυσιν τοῦ ὑπὸ πολλὰς ἐπόψεις σπουδαιοτάτου ὡς ἄνω σιγιλλίου γράμματος, ἀναγκαῖον ἵνα παραθέσωμεν ἐν ὄψει τοῦ ἀναγνώστου τὸ χρυσόβουλλον τοῦ ἀειμνήστου ἡγεμόνος Ἰωάννου Κ. Μουρούζη, ἐκχωρήσαντος εἰς τὴν σχολὴν τὴν ἐπίμαχον γῆν Χοταρνιτζένι, ἣν μετὰ εἰκοσαετῆ κάρπωσιν οἱ ἐν τοῖς τότε χρόνοις τὰ τῆς Ἐκκλησίας καὶ τοῦ Γένους διευθύνοντες ἀντήλλαξαν μετὰ τῆς ἐν Ξηροκρήνῃ ἐπ' ὀνόματι τοῦ Γεωργίου Χατμάνου ἐγγραφείσης οἰκίας, εἰς ἣν ἐγκατεστάθη ἡ τοῦ Γένους μεγαλώνυμος σχολή. Τὴν δημοσίευσιν ὅμως τοῦ ἐγγράφου τούτου ἀναγκαζόμεθα ἵνα ἀναβάλωμεν εἰς τὸ προσεχὲς τεῦχος ἕνεκεν ἐλλείψεως, τό γε νῦν, χώρου.

(*) ΣΗΜΕΙΩΣΕΙΣ

Τὸ μετὰ χεῖρας σιγίλλιον ὑπάρχει κατακεχωρισμένον καὶ ἐν τῷ κώδικι τῆς περὶ ἧς ἐν αὐτῷ πρόκειται Μ. τοῦ Γ. σχολῆς· παραλληλίσαντες δ' ἀκριβείας χάριν τὰ κείμενα, εὕρομεν ἀμφότερα ἐπουσιωδῶς ἔστιν ὅπου καὶ μᾶλλον κατ' ἀντιγραφικὴν ἀβλεψίαν ἀλλήλων διαφέροντα. Οἷον, ἡ παρ' ἡμῖν ὑπὸ σημείῳ (α) ἀπαντῶσα λέξις ὠφέλειαν φέρεται ἐν ἐκείνῳ ἀσφάλειαν.

β ἡ κλίσιν· κλῆσιν.
γ Ἀντιπεριγενομένοις· ἀντιπεριιγνομένοις.
δ Παραιτίων· παρ' αἰτίων.
ε Τὰ· καί.
στ Περιέργων· παρέργων.
ζ Ἀποδείξαιμεν· ἀποδείξομεν.
η Περιμένοιμεν; (ἄνευ ἐρωτηματικοῦ).
θ Ἐξαρκοῦσαν· ἐξαρκοῦσαν ἀναγκαίας.
ι Ἀποτυχοῦσιν· ἀποτυχόντες.
ια Τὸ παρεντεθὲν χωρίον "καὶ ὅσον οὔπω παρόντ' ἀποκρουσαμένη τὸν κίνδυνον ἀναλάβοι" εὑρηται μόνον ἐν τῷ τῆς σχολῆς κώδικι.
ιβ Νεοδμήτῳ· νεοδμήτου
ιγ Ἐκείνου· ἐκείνου τὰ πάντα.
ιδ Ἀοιδίμου· ἀοιδίμου ἐκείνου.
ιε Ἀνῳκοδόμηται· ἐνῳκοδόμηται.
ιστ Ἐν ἔτει σωτηρίῳ κλπ.— ᾳωδ Ἰνδικτιῶνος ζ. Ἐκ δὲ τῶν ὑπογραφῶν τῶν ἀρχιερέων ἐλλείπει ἐκ τοῦ κώδικος τῆς σχολῆς ἡ τοῦ Δέρκων Γερμανοῦ.

ΑΙ ΚΑΤΗΧΗΣΕΙΣ

ΤΟΥ

ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΟΜΟΛΟΓΗΤΟΥ

ΘΕΟΔΩΡΟΥ ΤΟΥ ΣΤΟΥΔΙΤΟΥ

νῦν πρῶτον ἐκδιδόμεναι ἐκ τοῦ ἐν τῇ Βιβλιοθήκῃ τῆς ἐν Χάλκῃ

Θεολογικῆς Σχολῆς εὑρισκομένου χειρογράφου

ΥΠΟ

ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ ΦΙΛΑΡΕΤΟΥ ΒΑΦΕΙΔΟΥ.

ΠΡΟΛΕΓΟΜΕΝΑ.

(Συνέχεια· ἴδε προηγούμενον τεῦχος).

Ἐν τούτοις ἀνάγκη νὰ ὁμολογήσωμεν ὅτι πρωΐμως ἤδη πολλοὶ τῶν μοναχῶν, καὶ τὸ ἀληθὲς καὶ γνήσιον πνεῦμα τοῦ μοναχικοῦ βίου διέφθειραν καὶ βλάβης μᾶλλον ἢ ὠφελείας πρόξενοι ἐγένοντο. Αὐτὸς ὁ ἱερὸς Αὐγουστῖνος ἀναγκάζεται που νὰ ὁμολογήσῃ ὅτι μεταξὺ τῶν μοναχῶν καὶ μοναζουσῶν οὐ μόνον οἱ ἄριστοι, ἀλλὰ καὶ οἱ χείριστοι τῶν ἀνθρώπων ἀπαντῶσιν. Καὶ ἀληθῶς ὅσον ἁγία καὶ θαυμαστὴ ἦν ἡ πολιτεία τῶν ἀληθῶς μοναζόντων, τοσοῦτον ἀξιοκατάκριτος ἦν ἡ διαγωγὴ τῶν ἀναξίως τὸ ὄνομα τοῦτο φερόντων· ὅσον δὲ ὠφέλιμοι κατέστησαν τῇ Ἐκκλησίᾳ οἱ πρῶτοι, τοσοῦτον ἐπιβλαβεῖς οἱ δεύτεροι. Οὐδεὶς ὁ ἀρνούμενος ὅτι ὁ πρὸς ἐξόντωσιν τοῦ ἐθνισμοῦ ζῆλός τινων μοναχῶν δὲν ἦτο ἀξιέπαινος· οἱ τοιοῦτοι διήγειρον συνήθως τὸν φανατικὸν ὄχλον ἐναντίον τῶν ναῶν καὶ τῆς λατρείας τῶν ἐθνικῶν καὶ ἐν τῇ καταστροφῇ αὐτῶν πολλάκις ἦσαν οἱ πρῶτοι. Διὰ τοῦ πλήθους καὶ τῆς ἐπιροπῆς αὐτῶν ἐπὶ τοῦ λαοῦ ἠδύναντο νὰ ἀντιστρατεύωνται καὶ κατὰ τῆς πολιτικῆς ἐξουσίας, νὰ ἐπεμβαίνωσι δὲ πολλάκις καὶ εἰς αὐτὰ τὰ ἐκκλησιαστικὰ πράγματα. Περὶ τὰ τέλη ἤδη τῆς 4 ἑκατονταετηρίδος πολλοὶ τῶν μοναχῶν ἐγκαταλείποντες τὰ καταφύγια αὐτῶν κατήρχοντο εἰς τὰς πόλεις, ὅπου ἐπορθαλμιῶντες εἰς διαφόρους θέσεις πολλὰ τῇ Ἐκκλησίᾳ παρεῖχον πράγματα, ἐνῷ ἕτεροι ἀλαζονευόμενοι ἐπὶ τῇ ἰδίᾳ ἁγιότητι περιεφρόνουν ἔστιν ὅτε καὶ ἱεραρχίαν καὶ αὐτὰς τὰς οἰκουμενικὰς συνόδους, συγκαταριθμούμενοι δὲ εἰς τὰς αἱρετικὰς φατρίας, στρατὸν πολυπληθῆ (1) καὶ βραχίονας στιβαροὺς παρεῖχον εἰς τὰς χεῖρας βιαίων ἀνθρώπων. Αἰτία τούτων ἦν, τὸ ὅτι πολλοὶ τῶν μοναχῶν ἐκ τῶν κατωτέρων τῆς κοινωνίας τάξεων καταγόμενοι, συνεκόμιζον μεθ' ἑαυτῶν καὶ τὴν ἐκεῖ ἐπιπολάζουσαν ὠμότητα καὶ χυδαιότητα, ἢ εἰς τὸν μοναχικὸν βίον καθειλκύοντο οὐχὶ ὑπὸ τοῦ ἐλατηρίου τῆς ψυχικῆς αὐτῶν σωτηρίας, ἀλλ' ὑπὸ ὑπερηφανείας, ματαιότητος, ὀκνηρίας καὶ ἵνα ἀποφεύγωσι πολλάκις τοὺς στρατιωτικοὺς καὶ ἄλλους δασμούς. Δικαίως περὶ τῶν τοιούτων ἔλεγεν ὁ ἱερὸς Νεῖλος, ὅτι οὔτε καταλιπόντες τι καὶ ὁ μὴ εἶχον κτησάμενοι, ὥσπερ ἐμπορείας οὐ φιλοσοφίας ὑπόθεσιν τὸν μοναχικὸν βίον πεποίηνται (2). Ἐννοεῖται δὲ οἰκοθεν ὅτι παρὰ τῶν τοιούτων οὐδὲν καλὸν ἠδύνατό τις νὰ ἀναμένῃ, ἐὰν μάλιστα καὶ ἡγούμενοι πολλάκις καθίσταντο. Ἐντεῦθεν δικαίως παρεπονεῖτο ὁ αὐτὸς Νεῖλος λέγων: διὰ τοῦτο εὐκαταφρόνητος ὁ βίος ἐγένετο καὶ οἱ μετερχόμενοι αὐτὸν παρὰ πάντων χλευάζονται. Τίς γὰρ μὴ γελάσεται τὸν χθὲς ἐν καπηλείῳ ὑδροφοροῦντα, σήμερον ὁρῶν ὡς διδάσκαλον ἀρετῆς, παρὰ μαθητῶν δορυφορούμενον, ἢ τὸν πρώην τῶν πολιτικῶν ἀναχωρήσαντα κακοπραγιῶν, ὀψὲ μετὰ πλήθους μαθητῶν διὰ πάσης σοβοῦντα τῆς ἀγορᾶς (3). Ἀλλὰ πρὸς τούτοις καὶ ἕτερα ἄτοπα προήρχοντο ἕνεκά τε τῆς ἀμαθείας καὶ τῆς παραθέρμου ἐπιτάσεως τῆς ἀσκήσεως πολλῶν μοναχῶν. Εἶναι ἀληθὲς ὅτι ἡ μοναχικὴ πολιτεία οὐ μικρὸν συνετέλει εἰς τὴν ἀπονέκρωσιν τῶν παθῶν καὶ τὴν ἀπόκτησιν τῆς ἀληθοῦς χριστιανικῆς ἁγιότητος. Τοῦτο ἀληθῶς κατώρθωσαν πολλοί· οὐκ ὀλίγοι ὅμως ἀπομακρυνόμενοι τῶν τοῦ κόσμου πειρασμῶν, ἔμελλον δυστυχῶς νὰ δοκιμάσωσιν ὅτι οὗτοι εἵποντο αὐτοῖς καὶ ἐν τῇ ἐρήμῳ, ἔμελλον νὰ δοκιμάσωσιν ὅτι ἡ σὰρξ μετὰ τῶν παθῶν αὐτῆς ἀκολουθεῖ τὸν ἄνθρωπον καὶ ἐν τῇ ἐρήμῳ καὶ μάλιστα βιαιότερον ἐπενεργοῦσα πολλάκις ἢ ἐν τῷ κόσμῳ. Πολλὰ τοιαῦτα παραδείγματα ἀναφέρουσιν ἡμῖν οἱ Πατέρες· αὐτὸς ὁ Μ. Βασίλειος ὁ τοσοῦτον διαπρέψας ἐν τῷ μοναχικῷ βίῳ, ἀναγκάζεται νὰ ὁμολογήσῃ εἰς τὸν φίλον αὐτοῦ Γρηγόριον: κατέλιπον μὲν τὰς ἐν ἄστει διατριβάς, ἐμαυτὸν δὲ οὕτω ἀπολιπεῖν ἠδυνήθην.... ὥστε οὐδὲν μέγα τῆς ἐρημίας ἀπωνάμεθα ταύτης (4). Τινὲς μάλιστα τῶν μοναχῶν μὴ δυνάμενοι νὰ ἐπιτύχωσι τοῦ ποθουμένου περιήρχοντο εἰς παντελῆ ἀπελπισίαν, ἐνῷ ἕτεροι ὑπὸ τῆς αὐστηρᾶς ἀπομονώσεως, τῆς ἐγκρατείας καὶ τῆς κακουχίας πιεζόμενοι ἐβλάπτοντο τὴν ὑγείαν σπουδαίως. Οὕτω, λόγου χάριν, τινὲς ὑπὸ τῆς ὑγρασίας τῶν κελλίων αὐτῶν, τῆς ὑπερβολικῆς νηστείας, τῆς κατὰ κόρον ἀναγνώσεως καὶ τῶν τοιούτων εἰς μελαγχολίαν περιπίπτοντες, ἔχρηζον μᾶλλον, ὡς λέγει ὁ Ἱερώνυμος (ἐπιστολ. 95) τῆς ἰατρικῆς περιθάλψεως τοῦ Ἱπποκράτους ἢ τῶν σορῶν καὶ συνετῶν παραινέσεων τῶν Πατέρων. Τοῖς τοιούτοις δὲν ἦσαν ἀσυνήθεις οἱ πρὸς αὐτοχειρίαν πειρασμοί: Τινὲς μὲν αὐτῶν, λέγει ὁ ἱερὸς Νεῖλος (5) ξενισθέντες καὶ θορυβηθέντες τὸν νοῦν ἐξ ἀπροσεξίας καὶ ἀδιακρισίας ἑαυτοὺς ἔσφαξαν μαχαίρᾳ, τινὲς δὲ κατεκρήμνισαν ἑαυτοὺς ἀφορήτῳ λύπῃ καὶ ἀπογνώσει συσχεθέντες, ἕτεροι δὲ τὰ γεννητικὰ μόρια κόψαντες καὶ αὐτοφονευταὶ ἑαυτῶν προαιρέσει γεγονότες οἱ τάλανες, ὑπέπεσαν τῇ ἀποστολικῇ ἀρᾷ. Ἕτεροι ἀπέθνησκον τὸν δι'

(1) Στίφη καὶ φάλαγγας οὐ μοναχῶν ἀλλὰ μαχητῶν, καλεῖ αὐτοὺς ὁ Ἰσίδωρος.

(2) Πρὸς Μάγναν κεφ. 5'.

(3) Λόγος ἀσκητικὸς κεφ. 22, πρβλ. καὶ Ἰσιδώρου Πηλουσιώτου ἐπιστολ. Βιβλ. 1, 219, ἔνθα ὁ εὐγενὴς μοναχὸς θρηνεῖ ἐπὶ τῇ ὑπὸ ποιμένων καὶ δούλων ἱδρύσει μοναστηρίων.

(4) Ἐπιστολ. 2 πρὸς Γρηγόριον πρβλ. καὶ ἐπιστολ. 18 τοῦ Ἱερωνύμου πρὸς Εὐστόχιαν.

(5) Ἐπιστ. βιβλ. 2, 140

ἀσιτίας θάνατον (6) καὶ ἄλλοι κατὰ τὴν μαρτυρίαν τοῦ Παχωμίου ἢ διὰ τῆς διατομῆς τῆς γαστρὸς καὶ τῆς κατακρημνίσεως ἀπέθνησκον ἢ ἄλλοις διαφόροις τρόποις (7). Πολλοὶ διὰ τῆς ἀσκήσεως καὶ τῆς λοιπῆς κακοπραγίας ἐνόμιζον ὅτι εἰς τοιοῦτον βαθμὸν ἠθικῆς τελειότητος ἀφικνοῦντο, ὥστε δὲν ἔχρηζον τῶν πρὸς σωτηρίαν μέσων τῆς Ἐκκλησίας, μηδ' αὐτῆς τῆς εὐχαριστίας ἐξαιρουμένης· ἐντεῦθεν ὅμως εἰς φοβερὰ κατεφέροντο πτώματα καὶ ἀθεμίτους πράξεις, διότι, ὡς ὀρθῶς παρατηρεῖ ὁ ἱερὸς Νεῖλος, εὐθὺς ἐπιδραμόντες οἱ παμπόνηροι δαίμονες καὶ συμπλακέντες τῷ ἀπορρανισθέντι τῆς μακαρίας φρουρᾶς (τῆς τῶν ἀγγέλων δηλ.) καταβάλλουσι τὸν περφυσιωμένον εἰς πορνείαν ἢ κλοπὴν ἢ φονοκτονίαν, μοιχείαν ἢ ἕτερόν τι τῶν ἀπηγορευμένων· μείζων γὰρ πάντων τῶν πλημμελημάτων πλημμέλημά ἐστιν ὑπερηφάνεια (8). Καὶ ἡ ἀληθὼς ἡ πνευματικὴ ὑπερηφάνεια καὶ ὁ ἐγωϊσμὸς παρὰ πολλοῖς ἦν ἀφορμὴ καὶ πηγὴ παραθέρμων τάσεων καὶ ψυχικῶν ἀσθενειῶν. Οὕτω π. χ. κατὰ τὸν Παλλάδιον, Οὐάλης τις τοσοῦτον ἦν περφυσιωμένος τὸ φρόνημα ὥστε ποτὲ ἐλθὼν ἐν μέσῳ τῆς ἀδελφότητος συνηγμένης εἶπεν: ἐγὼ κοινωνίας χρείαν οὐκ ἔχω· τὸν Χριστὸν ἑώρακα σήμερον. Διὰ τοῦτο δήσαντες τότε αὐτὸν οἱ Πατέρες σιδήροις ἐπὶ ἔτος ἓν ἀπεθεράπευσαν, εὐχαῖς καὶ ποικίλῃ ἀδιαφορήσει καὶ ἀπραγοτέρῳ βίῳ τὸ οἴημα αὐτοῦ καθελόντες, καθὼς λέγεται, τὰ ἐναντία τοῖς ἐναντίοις ἰάματα (9). Κατὰ τὸν αὐτὸν Παλλάδιον, Πτολεμαΐός τις, ὅστις ἀποξενωθεὶς διδασκαλίας πνευματικῆς καὶ συντυχίας ἀνδρῶν ὁσίων καὶ συνεχοῦς κοινωνίας τῶν μυστηρίων Χριστοῦ, ἐπὶ τοσοῦτον ἐμάνη ἐκτραπεὶς τῆς εὐθείας ὁδοῦ, ὥστε ὡμολόγει τὸν λεγόμενον αὐτοματισμόν, ὕστερον ἔκδοτον ἑαυτὸν δεδωκὼς γαστριμαργίᾳ καὶ οἰνοφλυγίᾳ, ἐλεεινὸν θέαμα καὶ πλῆρες δακρύων προκείμενος χριστιανῶν ὀφθαλμοῖς, παίγνιον δὲ καὶ χλεύη τοῖς ἀγνοοῦσι τὸν ἡμέτερον βίον (10). Αὐτὸ τοῦτο ἔπραξε καί τις Ἥρων, ὅστις μετὰ πολλοὺς ἀγῶνας καὶ ἱδρῶτας εἰς ὕψος ἀπήρθη ἀπονοίας καὶ εἰς τοιαύτην ἀδιαφορίαν περιέπεσεν ὥστε καὶ θεάτροις παρέβαλε καὶ ἱπποδρομίαις καὶ τὰς διατριβὰς εἶχεν ἐν καπηλείοις (11). Ἕτεροι ἐνόμιζον ὅτι ἀρκοῦσι πρὸς σωτηρίαν τὰ ἴδια ἔργα (12)· ἕτεροι εἰς τοιαύτην κατάστασιν περιήρχοντο ὥστε ἐκ τῆς ἄγαν ἀσιτίας, ὡς λέγει ὁ Σωζόμενος (6, 34), σκώληκες ἐκ τῶν ὀδόντων αὐτῶν εἷρπον. Ἄλλοι, ὡς ἀναφέρει ὁ Κασσιανός, παρεξηγοῦντες τὸ τῆς Γραφῆς (Ματθ. 10, 38) περιεπλανῶντο φέροντες ἐπὶ τῶν ὤμων αὐτῶν σταυρούς, ἄλλοι ἔζων χλόην μόνον τρώγοντες καὶ ρίζας, ὅθεν καὶ Βοσκοὶ ἐκλήθησαν (13) καὶ ἕτεροι χάριν εὐφημιῶν καὶ κοσμικῶν τιμῶν κατεχρῶντο τοῦ Στυλιτικοῦ λεγομένου βίου, ὡς ἀναφέρει ὁ ἱερὸς Νεῖλος περί τινος Νικάνδρου, πρὸς ὃν γράφων παραινεῖ: ἄτοπον ἂν εἴη ἐφ' ὑψηλοῦ μὲν τοῦ κίονος ἱστασθαι τῷ σώματι τοῖς πᾶσι φαινόμενον ἔνδοξον, κάτω δὲ τοῖς λογισμοῖς σύρεσθαι, μηδὲν ἄξιον τῶν οὐρανίων πραγμάτων διανοεῖσθαι βουλόμενον (14).

(6) Γρηγορ. τοῦ Θεολόγ. ᾄσμα 99 στίχ. 100—105.

Θνήσκουσιν πολλοὶ προφρονέως θανάτοις
αὐτοὶ ὑπὸ σφετέρης παλάμης καὶ γαστρὸς ἀνάγκῃ·
οἱ δὲ κατὰ σκοπέλων, βένθεσί τ' ἠὲ βρόχοις
μάρτυρες ἀτρεκίης· πολέμου δ' ἄπο καὶ στονόεντος
ἔλαθε, Χριστὲ ἄναξ, πιστοὺς φρεσὶν ἀφραδέουσιν.

(7) Βίος Παλλαδ. παράγρ. 61 πρβλ. καὶ Χρυσοστόμου πρὸς Σταγείριον βιβλ. 3.

(8) Ἐπιστολ. βιβλ. 1,326.

(9) Λαυσιακὸν παράγρ. 31.

(10) αὐτόθι 33.

(11) αὐτόθι 32 πρβλ. καὶ 95.

(12) Νείλου ἐπιστολ. 3,284.

ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΙΕΡΩΝ ΑΚΟΛΟΥΘΙΩΝ

ὑπὸ Μ. Δ. Χ.

§ 1.

Ο ΝΑΟΣ.

(Συνέχεια· ἴδε προηγούμενον τεῦχος)

Ἐπειδὴ καὶ τὸ ἱερὸν βῆμα, καθ' ἃ προέφημεν, ἐμφαίνει τὸν οὐρανὸν τοῦ οὐρανοῦ, τούτου ἕνεκεν οἰκοδομεῖται καὶ ὑψηλότερον τῶν ἄλλων τοῦ ναοῦ μερῶν, καὶ πρὸς αὐτὸ φερόμεθα ἀνερχόμενοι βαθμίδας, αἵτινες κατέναντι τῶν βασιλικῶν θυρῶν τοῦ καταπετάσματος σχηματίζονται εἰς σχῆμα ἡμικυκλίου, ὅπως καταρτισθῇ τέλειος κύκλος μετὰ τῆς ὄπισθεν τῆς ἁγίας Τραπέζης ἀχιβάδας καὶ οὕτως ἐν πλήρει κύκλῳ μὴ ἔχοντος ἀρχὴν καὶ τέλος τοποθετηθῇ ὁ θρόνος τοῦ παμβασιλέως Χριστοῦ.

Ἐπὶ τοῦ καταπετάσματος τοῦ χωρίζοντος τὸ ἅγιον βῆμα ἀπὸ τοῦ κυρίως ναοῦ εἰκονίζομεν τὸν Σωτῆρα Ἰησοῦν ἔχοντα ἐκ δεξιῶν τὴν πάναγνον αὐτοῦ **Μητέρα**, ἐξ εὐωνύμων τὸν Προφήτην καὶ Πρόδρομον, καὶ ἔνθεν καὶ ἔνθεν τὰς εἰκόνας τοῦ τε ἁγίου, εἰς οὗ τὴν μνήμην εἶνε ᾠκοδομημένος ὁ ναός, καὶ ἄλλων ἁγίων ὡς καὶ τῶν ἀρχιστρατήγων τῶν νοερῶν δυνάμεων Μιχαὴλ καὶ Γαβριήλ. Διὰ τῆς θεωρίας τῶν ἱερῶν αὐτῶν εἰκόνων ἐκδιδασκόμεθα τὴν ἐν Οὐρανῷ ἐντρυφὴν τῶν ἁγίων παρὰ τῷ Σωτῆρι, ὃς κατὰ τὴν ἐπαγγελίαν αὐτοῦ εὕρηται ἐν μέσῳ ἡμῶν συνηγμένων ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ ὃς μέλλει ἔρχεσθαι ἵνα κρίνῃ ζῶντας καὶ νεκρούς.

Πρὸ τοῦ ἱεροῦ βήματος ὑψοῦτο τὸ πάλαι ὁ Ἄμβων ἔχων δύο ἀνόδους (κοχλίας), τὴν μὲν ἀπ' ἀνατολῶν, ὅθεν συνήθως ἀνέβαινον, τὴν δὲ ἐκ δυσμῶν, τὴν τῆς καθόδου· τούτου δὲ ἕνεκεν ὠνομάσθη καὶ ἄμβων ἐκ τοῦ λατινικοῦ ambo. Ἐκδηλοῖ δὲ οὗτος τὸν ὑπὸ τοῦ ἀγγέλου ἐκκυλισθέντα λίθον τοῦ μνήματος, ὅθεν καὶ ἀγγελικὸν σώζοντες τύπον οἱ διάκονοι καὶ οἱ ἱερεῖς ἐπ' αὐτοῦ ἀνερχόμενοι ἐκήρυττον τὸ εὐαγγέλιον, καὶ ἐξ αὐτοῦ οἱ ἐπίσκοποι παρηγόρουν τοὺς ἁμαρτωλοὺς καὶ τεθλιμμένους καὶ ἐκεραυνοβόλουν τὰς ἀδικίας τῶν τῆς ἡμέρας ἰσχυρῶν, ὡς ἔπραττεν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος, περὶ οὗ Νικηφόρος ὁ Καλλιστος λέγει· «εἰωθὸς γὰρ

(13) Σωζομ. 6, 33.

(14) Ἐπιστολ. 2,115· πρβλ. καὶ ἐπιστολ. 114, ἔνθα πρὸς τὸν αὐτὸν Στυλίτην γράφων λέγει: Πρόσεχε σεαυτῷ μήποτε ἐνταῦθα παρὰ ἀνθρώπων φθαρτῶν ἀκρατῶς ἐπαινεθεὶς ἀρτίως τὸ τηνικαῦτα παρὰ τοῦ ἀφθάρτου Θεοῦ ταλανισθῇς ἀθλίως παρ' ἐλπίδας.

ἦν ἐκείνῳ ἐπ' ἄμβωνος ἀναβαίνοντι διεξιέναι τοὺς λόγους, ἵν' ἅπαντας ἡ φωνὴ ἐπιφθάνοι».

Ὅτι δὲ ὁ Ἄμβων ὑψοῦτο πρὸ τοῦ ἱεροῦ βήματος καὶ οὐχί, ὡς ὁ Σιλεντιάριος λέγει, περὶ τοῦ ναοῦ τῆς ἁγίας Σοφίας ὅτι περὶ τὸ μέσον εὕρητο τοῦ ναοῦ νενευκὼς μᾶλλον «πρὸς ἀνατολίην», ἐξάγομεν καὶ ἐκ τῆς ἔτι πρὸ τοῦ καταπετάσματος ἀναγνώσεως τῆς ὀπισθάμβωνος εὐχῆς, ἣν ὁ ἱερεὺς ἀνεγίνωσκεν ἀφορῶν πρὸς τὸν λαὸν κάτωθεν τοῦ ἄμβωνος, περὶ ἧς πλατύτερον ὁμιλήσομεν ἐν τῷ περὶ λειτουργίας κεφαλαίῳ.

Τὸ πρὸ τοῦ καταπετάσματος μέρος, τὸ ἐκτεινόμενον μεταξὺ τῶν δύο χωρῶν, καλεῖται Σολέας· αὐτοῦ δὲ ἵσταντο οἱ ἀναγνῶσται καὶ οἱ ὑποδιάκονοι.

Τὸ μέσον τοῦ ναοῦ καλεῖται ὀμφαλός, ἢ ἄλλως μεσόναον, εἰς ὑποτύπωσιν τοῖς παρὰ τοῖς ἀρχαίοις κρατούσης ἰδέας ὅτι ἡ ἁγία πόλις Ἱερουσαλὴμ ἐν τῷ μεσαιτάτῳ τοῦ κόσμου σημείῳ ἔκειτο.

Αἱ κανδῆλαι, δι' ὧν πληροῦται ὁ ναός, ἐξεικονίζουσι τοὺς ἀπειροπληθεῖς ἀστέρας, οὓς ἡ πανσθενὴς τοῦ Δημιουργοῦ δεξιὰ ἐγκατέσπειρεν ἐπὶ προσώπου τοῦ στερεώματος· ἐκ τῶν φώτων τούτων τὰ μὲν ἁπλᾶ ἢ μοναδικὰ τὸ ἑνιαῖον τῆς Τριάδος ἐμφαίνουσι, καὶ ὅταν πρὸ εἰκόνος ἁγίου κρεμῶνται, τὴν φωτοβόλον ἐν οὐρανοῖς λάμψιν τῆς μακαρίας τοῦ τιμημένου ἁγίου ψυχῆς ἐκδηλοῦσι· τὰ δὲ διπλόφωτα, τὸ διφυὲς τῆς τοῦ Σωτῆρος φύσεως διερμηνεύουσι· τὰ τριλαμπῆ ἢ τρίφωτα τὸ τρισυπόστατον τῆς Τριάδος ἀπεικονίζουσι· τὰ ἑπτάφωτα τὸν ἀριθμὸν τῶν τοῦ ἁγίου Πνεύματος χαρισμάτων· τὰ δωδεκάφωτα τὴν τῶν ἀποστόλων χορείαν διηρμηνεύουσι, καὶ τὰ πολύφωτα τὴν θριαμβεύουσαν ἐκκλησίαν ἐκπροσωποῦσι· τέλος αἱ πρὸ τῆς εἰκόνος τοῦ Σωτῆρος καὶ τῆς Θεοτόκου καιόμεναι λαμπάδες εἰς τύπον εἰσὶν ἡ μὲν τῆς στήλης τοῦ πυρὸς τῆς καθοδηγησάσης τὰ βήματα τοῦ ἐξ Αἰγύπτου ἐξελθόντος Ἰσραήλ, ἡ δὲ τῆς φλεγομένης Βάτου, ἣν ὁ θεόπτης Μωϋσῆς ἐθεάσατο.

Ὁ ἐν τῷ ναῷ κόσμος ἐμφαίνει τὴν εὐπρέπειαν, ἣν ὁ Κύριος ἐνεδύσατο· πλήρης δ' ἐστὶν εὐωδίας ἀρωματικῆς, διότι κατὰ τὸν προφήτην «ὀσμὴ ἱματίων ὑπὲρ πάντα τὰ ἀρώματα· σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου» (Ἆσμα ἀσμάτ. δ, η, μδ'. 9). Ἡ ὀσμὴ δ' αὕτη καὶ εὐωδία ὑπομιμνήσκει τοῖς εἰσιοῦσιν εἰς τὸν ναὸν ὅτι ὀφείλουσιν ἵνα ἁγνὰς καὶ εὐώδεις τὰς ψυχὰς προσφέρωσιν εἰς τὸν Θεόν, οὗ ναὸς ἔμψυχος τὰ σώματά εἰσιν ἡμῶν. Τέλος ἡ καθόλου τοῦ ναοῦ εὐπρέπεια καὶ ἡ ἐν αὐτῷ καθαριότης, τὸ καθαρὸν καὶ πάγκαλον τῶν ἁγίων καὶ τὸ τοῦ παραδείσου τερπνὸν ἐξεικονίζουσι.

Πρὸ τοῦ ναοῦ ἐκτείνεται ὁ Νάρθηξ, ἡ τοῦ ναοῦ ἀρχή, ὡς ἐτυμολογεῖ τὴν λέξιν ὁ Θεσσαλονίκης Συμεὼν εἰς τὸ περὶ αἱρέσεων, ὅπερ καὶ κατηχουμενεῖα ἐκαλοῦντο, ἐν οἷς ἵσταντο οἱ κατηχούμενοι, οἵτινες ὅμως ἀπὸ τῶν μέσων τῆς Ζ' ἑκατονταετηρίδος ἔπαυσαν τοῦ διαστέλλεσθαι καὶ διίστασθαι, ὡς ἱστοροῦσιν ὁ ἐν ἁγίοις Μάξιμος ὁμολογητὴς (κεφ. γ') καὶ ὁ κατὰ τὸν ιϐ' αἰῶνα ἀκμάσας Ζωναρᾶς ἐν τοῖς σχολίοις τοῦ ιθ' κανόνος τῆς ἐν Λαοδικείᾳ συνόδου.

Οἱ ναοὶ ὡς ἐπὶ τὸ πλεῖστον δύο εἶχον νάρθηκας, τὸν πρῶτον ἢ μέγαν, καὶ τὸν ἐσωνάρθηκα· ἕτεροι, ὡς ὁ τῆς ἁγίας Σοφίας, τέσσαρας. Περὶ τοῦ ναοῦ τῆς ἁγίας Σοφίας τοῦ λόγου ὑποκειμένου, τέσσαρας νάρθηκας μνημονεύει ὁ Κωδινός, «ὧν τὰ ὄροφα κατεχρύσωσεν (ὁ Ἰουστινιανὸς) ἐξ ὑελίνου χρυσοῦ λαμπρότατα»· τὰ δὲ πρακτικὰ τῆς ς' οἰκουμενικῆς συνόδου ἀναφέρουσιν «ὅπου τὸ δικύμβαλον ἐν τρίτῳ νάρθηκι τῆς μεγάλης Ἐκκλησίας» (Πράξ. η'). Τέσσαρας νάρθηκας τῆς ἁγίας Σοφίας μνημονεύει ἐπίσης καὶ ὁ Ἀνώνυμος συγγραφεὺς τοῦ περὶ ἁγίας Σοφίας ὑπομνήματος γράφων (σελ. 247) ὅτι «τὸ ἐπίπεδον τοῦ ναοῦ καὶ οἱ τέσσαρες νάρθηκες καὶ ὁ λουτὴρ καὶ τὰ πέριξ αὐτῶν ὑπῆρχον οἰκήματα Δαμιανοῦ Πατρικίου»· καὶ παρακατιὼν «τὰς γὰρ τέσσαρας ῥίνας τοῦ ναοῦ ὠνόμασε τοὺς τέσσαρας ποταμοὺς τοὺς ἐξερχομένους ἐκ τοῦ Παραδείσου, καὶ ἔδωκε νόμον ἵνα κατὰ τὰς ἁμαρτίας ἵστασθαι ἐν αὐτοῖς ἕνα ἕκαστον (τοὺς) ἀφοριζομένους». Πιθανῶς οἱ δύο τῶν ναρθήκων τούτων εἰσὶ τὰ ἑκατέρωθεν τοῦ ἐσωνάρθηκος χωρίσματα.

Εἰς τὸν πρῶτον νάρθηκα τοῦ ναοῦ τῆς ἁγίας Σοφίας ἐννέα ἔφερον πύλαι, ὧν τὴν ἐπιστασίαν εἶχον οἱ ὀστιάριοι, ὧν ὁ ἀριθμὸς διὰ νεαρᾶς τοῦ κατὰ τὸν Ζ' αἰῶνα ἀκμάσαντος Ἡρακλείου ὡρίσθη εἰς 75 (α), πρὸς οὓς ὁ λόγος τὸ πάλαι ἀπετείνετο ἐν τῷ «τὰς θύρας, τὰς θύρας ἐν σοφίᾳ πρόσχωμεν», ὅπως κλείσωσι τὰς ἔξω πύλας, ἵνα μὴ εἰσέλθῃ τις τῶν μὴ κοινωνούντων τῶν χριστιανικῶν μυστηρίων ἢ τῶν δικτῶν τοῦ χριστιανισμοῦ ἐν καιρῷ μυσταγωγίας.

Αἱ ἐννέα αὗται πύλαι, δι' ὧν ὁ κύριος ναὸς τῆς ἁγίας Σοφίας ἐκοινώνει μετὰ τοῦ ἐσωνάρθηκος, ἦσαν τὸ κατ' ἀρχὰς κεκοσμημέναι ἐξ ὀστῶν ἐλέφαντος, ἠλέκτρου καὶ ἀργύρου· πολλοὶ δ' ἐπίστευον ὅτι ἡ κέδρος, ἐξ ἧς ἦσαν αὗται κατεσκευασμέναι, ἦν ἐκ τῆς κιβωτοῦ τοῦ Νῶε, ὡς ἀναφέρει ὁ Ἀνώνυμος γράφων «ἐποίησε δὲ .... καὶ ἐν τῷ νάρθηκι ἠλέκτρου πύλας καὶ πυλῶνας τρεῖς, δύο ἐμμέτρους, καὶ μέσων τῶν δυοῖν μεγίστην ἀργυρᾶν χρυσέμβαφον τὰς παραπύλας αὐτῆς χρυσώσας. Ἔσωθεν δὲ τῶν τριῶν πυλῶν ἀντὶ ξύλων καινῶν ἔβαλεν ἐκ τῶν τῆς Κιβωτοῦ ξύλων». Σήμερον αἱ πύλαι αὗται δὲν ὑπάρχουσι· πυρποληθεισῶν τῶν πυλῶν τούτων, Μιχαὴλ ὁ Κουροπαλάτης ὁ ἐπιλεγόμενος Ραγκαβᾶς, ὁ τῷ 813 βασιλεύσας, κατεσκεύασεν ἀντ' αὐτῶν ἄλλας ἐκ χαλκοῦ, ἐφ' ὧν ἀναγινώσκεται ἔτι καὶ νῦν ΜΙΧΑΗΛ ΝΙΚΗΤΩΝ.

Ἐν τῷ ἐσωνάρθηκι εὕρητο τὸ βαπτιστήριον· ἔν τισι δὲ ναοῖς δύο ὑπῆρχον βαπτιστήρια, ὡς λ. χ. ἐν τῷ τῆς ἁγίας Σοφίας ναῷ, ἔνθα ἐκτὸς τοῦ ἐν τῷ νάρθηκι μικροῦ βαπτιστηρίου, ὅπερ ἦν πάντοτε ἀνοικτὸν διὰ τὴν καθημερινὴν βάπτισιν, ὑπῆρχε καὶ τὸ μέγα Βαπτιστήριον, ὁ καλούμενος ἄλλως καὶ Βαπτιστὴρ καὶ μέγα Φωτιστήριον, ὅπερ ἔκειτο παρὰ τὸ σκευοφυλάκιον.

Πέντε θύραι ἔφερον καὶ φέρουσιν ἐκ τοῦ ἐσωνάρθηκος πρὸς τὸν ἐξωνάρθηκα, αἵτινες ἐκαλοῦντο ὡραῖαι ἢ βασιλικαί, καθ' ἃ ἐκ τοῦ Πορφυρογεννήτου (βιϐλ. Α', α) πιστοποιούμεθα, ἀφηγουμένου τὴν εἰς τὸν ναὸν εἴσοδον τοῦ αὐτοκράτορος καὶ γράφοντος· «εἰσελθὼν ἀπὸ τοῦ ὡρολογίου διὰ τῆς ὡραίας πύλης, ἀπεστέρετο ὑπὸ τῶν

(α) Ἡ νεαρὰ αὕτη ὁρίζει διὰ τὴν Μ. Ἐκκλησίαν πρεσβυτέρους 60, διακόνους 50, διακονίσσας 40, ὑποδιακόνους 70, ἀναγνώστας 60, ψάλτας 25 καὶ θυρωροὺς 75.

πραιποσίτων ἔνδον τοῦ βήλου, τοῦ κρεμαμένου εἰς τὴν καμάραν, ἤγουν εἰς τὸ προπύλαιον τοῦ νάρθηκος».

Πολλοὶ συγχέουσι τοὺς ἐμβόλους μὲ τοὺς νάρθηκας, ἀλλ' ἐκ τῆς ἀφηγήσεως τοῦ Κωδινοῦ, ἐξιστοροῦντος τὸ πάθημα τῆς αὐτοκρατείρας Θεοδώρας καὶ γράφοντος « Θεοδώρα ἡ Αὐγούστα, ἡ τοῦ Θεοφίλου, ἀπερχομένη διὰ τοῦ ἐμβόλου εἰς Βλαχέρνας, καὶ τοῦ ἵππου αὐτῆς ὀλισθήσαντος ἐν τῷ αὐτῷ τόπῳ ἔμπροσθεν τοῦ νάρθηκος τοῦ ναοῦ....», ἀριδήλως συνάγεται ὅτι ἄλλο ὁ ἔμβολος καὶ ἄλλο ὁ νάρθηξ ἦν. Ἔμβολοι ἰδίως ἐκαλοῦντο παρὰ Βυζαντινοῖς λιθοσκέπαστοι καὶ πλακόστρωτοι στοαὶ δι' ὧν, κατὰ τὸν Χρυσολωρᾶν « ἐξεῖναι ἄνευ πηλοῦ καὶ ἀκτῖνος πᾶσαν αὐτὴν (τὴν πόλιν) διτέναι ».

Αἱ ὡραῖαι αὗται ἢ βασιλικαὶ πύλαι, αἱ κατ' ἄλλους ἀγγελικαὶ καλούμεναι πύλαι, ἄλλοτε ἐκλείοντο μὲ βῆλα καὶ πάλιν ἠνοίγοντο εἴς τινας ἀκολουθίας, καθ' ἃς πρὸ τοῦ ναοῦ τὰς εὐχὰς οἱ πιστοὶ ἐποιοῦντο· « οὐρανοῦ τάξιν φαμὲν, λέγει ὁ Θεσσαλονίκης Συμεών, καὶ τοῦ ἐν Ἐδὲμ Παραδείσου τὸν θεῖον ἔχειν ναόν, διὸ καὶ καταπετάσμασί τισιν ἐν ταῖς ἱεραῖς μοναῖς ἐν τῷ ἔξωθεν ψάλλειν διαρράττουσι τὸν ναόν· ἕλκουσι δὲ ταῦτα ἐν τῷ εἰσέρχεσθαι, τοῦ τοιούτου δεικνύντος ὅτι Χριστὸς κατῆλθε μέχρις ἡμῶν, καὶ τὸ μεσότειχον τοῦ φραγμοῦ λύσας, εἰρήνην δέδωκε καὶ εἰς οὐρανοὺς ἡμᾶς ἀνήγαγεν»· ὁ ἐξωνάρθηξ ἐκαλεῖτο καὶ πρόναος, ἐλογίζετο δὲ καὶ εἶνε τόπος ἱερὸς κατὰ τὴν εἰς τὸν 6' κανόνα τοῦ Ἀλεξανδρείας Διονυσίου ἑρμηνείαν τοῦ Βαλσαμῶνος, γράφοντος· « οὐ γάρ εἰσι κοινοὶ οἱ πρόναοι, ὡς τὰ τῶν ἐκκλησιῶν προαύλια ». Ἐν τῷ προνάῳ ἵσταντο οἱ μετανοοῦντες εἰς τέσσαρας διαιρούμενοι τάξεις, τοὺς προσκλαίοντας, τοὺς ἀκροωμένους, τοὺς ὑποπίπτοντας καὶ τοὺς συνισταμένους, ἃς διαστέλλει ὁ οὐρανοφάντωρ Βασίλειος ἐν τῷ νς' αὐτοῦ κανόνι διακελευόμενος· « ὁ ἑκουσίως φρονεύσας καὶ μετὰ τοῦτο μεταμεληθείς, εἴκοσιν ἔτη ἀκοινώνητος ἔσται τοῦ ἁγιάσματος. Τὰ δὲ εἴκοσιν ἔτη οὕτως οἰκονομηθήσεται ἐπ' αὐτῷ· Ἐν δ' ἔτεσι προσκλαίειν ὀφείλει, ἔξω τῆς θύρας ἑστὼς τοῦ εὐκτηρίου οἴκου, καὶ τῶν εἰσιόντων πιστῶν δεόμενος, εὐχὴν ὑπὲρ αὐτοῦ ποιεῖσθαι, ἐξαγορεύων τὴν ἰδίαν παρανομίαν. Μετὰ δ' εἰς τοὺς ἀκροωμένους δεχθήσεται. Καὶ ἐν ἑ ἔτεσι μετ' αὐτῶν ἐξελεύσεται. Ἐν δὲ ζ' ἔτεσι μετὰ τῶν ἐν ὑποπτώσει προσευχόμενος ἐξελεύσεται. Ἐν δ' συστήσεται μόνον τοῖς πιστοῖς, προσφορᾶς δὲ οὐ μεταλήψεται. Πληρωθέντων δὲ τούτων, μεθέξει τῶν ἁγιασμάτων». Ἐκ τοῦ κανόνος τούτου ἀφορμώμενοι καὶ ὑπὸ τοῦ εἰς τὸν ἐν ἁγίοις Νεοκαισαρείας Γρηγόριον τὸν θαυματουργὸν ἀποδιδομένου ιβ' κανόνος (α) χειραγωγούμενοι, δυνάμεθα ὁρίσαι ἀσφαλῶς τοὺς τόπους, ἐν οἷς ἵσταντο οἱ μετανοοῦντες· φησὶ γὰρ ὁ τελευταῖος μνησθεὶς κανών· « ἡ πρόσκλαυσις ἔξω τῆς πύλης τοῦ εὐκτηρίου ἐστίν, ἔνθα ἑστῶτα τὸν ἁμαρτάνοντα, χρὴ τῶν εἰσιόντων δεῖσθαι πιστῶν ὑπὲρ αὐτοῦ εὔχεσθαι. Ἡ ἀκρόασις ἔνδοθι τῆς πύλης ἐν τῷ νάρθηκι, ἔνθα ἑστᾶναι χρὴ τὸν ἡμαρτηκότα, ἕως τῶν κατηχουμένων, καὶ ἐντεῦθεν ἐξέρχεσθαι· « ἀκούων γάρ, φησί, τῶν γραφῶν καὶ τῆς διδασκαλίας, ἐκβαλλέσθω, καὶ μὴ ἀξιούσθω προσευχῆς »· Ἡ δὲ ὑπόπτωσις, ἵνα ἔσωθεν τῆς πύλης τοῦ ναοῦ ἱστάμενος, μετὰ τῶν κατηχουμένων ἐξέρχηται. Ἡ σύστασις, ἵνα συνιστᾶται τοῖς πιστοῖς καὶ μὴ ἐξέρχηται μετὰ τῶν κατηχουμένων. Τελευταῖον ἡ μέθεξις τῶν ἁγιασμάτων. »

Ἡ εἰς τὸν ναὸν πρόσκλησις ἐν τῇ ὥρᾳ τῆς κοινῆς προσευχῆς κατὰ τοὺς πρώτους τοῦ χριστιανισμοῦ αἰῶνας διαφόρως διενηργεῖτο· ὁ περὶ τὰς ἀρχὰς τῆς Δ' ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος ἀκμάσας ἐν Αἰγύπτῳ ἅγιος Παχώμιος, ὁ δοὺς εἰς τὸν μοναχικὸν βίον κανονικωτέραν καὶ στερεωτέραν μορφὴν καὶ θεμελιωτὴς γενόμενος τοῦ μοναστηριακοῦ βίου, ἀφορμηθεὶς ἐκ τῶν ἐν τοῖς Ἀριθμοῖς πρὸς Μωϋσῆν λόγων τοῦ Θεοῦ εἰπόντος· « ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς· ἐλατὰς ποιήσεις αὐτὰς, καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν καὶ ἐξαίρειν τὰς παραβολάς. Καὶ σαλπιεῖς ἐν αὐταῖς, καὶ συναχθήσεται πρὸς σὲ πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου » (Ἀριθμ. ι', 2, 3), ὡς ἐκ τοῦ γ' κεφαλαίου τῶν διατάξεων αὐτοῦ πιστοποιούμεθα, ἐποιήσατο σάλπιγγας καὶ δι' αὐτῶν προσεκάλει τοὺς μοναχοὺς εἰς τὸν ναόν. Ὁ Ἱερώνυμος (ἐν ἐπιστολῇ ζ') παραδίδωσιν ἡμῖν ὅτι περὶ τὰς ἀρχὰς τῆς Ε' ἑκατονταετηρίδος ἐκάλουν ἐν Βηθλεὲμ εἰς τὸν ναὸν κράζοντες πρὸ τῶν θυρῶν τῶν προσκαλουμένων Ἀλληλούϊα (α). Ἐν δὲ τῇ δ' πράξει τῆς ἐν Νικαίᾳ Ζ' ἁγίας οἰκουμενικῆς συνόδου μνημονεύονται τὰ σήμαντρα, ἄτινα ἐξ ἀρχαιοτέρων χρόνων φαίνονται ἐν χρήσει ὄντα, ὡς πληροφορούμεθα ἐκ τοῦ ιδ' κεφαλαίου τοῦ δ' βιβλίου τοῦ Κασσιανοῦ ἀναφέροντος ὅτι τῶν εἰς τὸν ναὸν προσκαλουμένων χριστιανῶν ἐκτύποις τὰς θύρας διὰ σφύρας. Τῷ 865 ἐπὶ τῆς βασιλείας Μιχαὴλ τοῦ Γ' ἀνηρτήθησαν ἐν Κωνσταντινουπόλει οἱ πρῶτοι κώδωνες προσενεχθέντες αὐτῷ δῶρον ὑπὸ τῶν Ἐνετῶν εὐγνωμονούντων αὐτῷ διὰ τὴν συνδρομὴν, ἣν τοῖς ἐχορήγησε κατὰ τῶν Σαρακηνῶν.

(Ἀκολουθεῖ)

(α) Τὴν γνησιότητα τοῦ κανόνος τούτου διημφισβήτησαν πολλοί, τὸ μὲν ὅτι τὸ ἐν αὐτῷ ῥητὸν αὐτολεξεὶ ἐλήφθη ἐκ τοῦ οἱ κανόνος τοῦ μεταγενεστέρως γενομένου Βασιλείου τοῦ μεγάλου, τὸ δὲ ὅτι οὐδαμῶς μνείαν αὐτοῦ ποιεῖται ὁ Ζωναρᾶς· ἐπειδὴ ὅμως ἀπαντᾶται ἐν ταῖς πανδέκταις, καὶ ἔν τισι χειρογράφοις ἐπιγράφεται ὡς σχόλιον. ἀνεγράφη ἐν τοῖς κανόσι τοῦ ἁγίου Γρηγορίου.

Τὸ χωρίον τοῦτο ἐπεξηγῶν ὁ ἀείμνηστος Καισαρείας Εὐστάθιος ἐν τῇ ἀπὸ ιγ' ὀκτωβρίου ᾳωοδ' ἐπιστολῇ αὐτοῦ ἐπισημειοῖ τάδε· «Τί ἄρα ἐστὶ τὸ αὐτὸν ἑαυτόν τινα εὐνουχίσαι διὰ τὴν τῶν οὐρανῶν βασιλείαν, ἐὰν μὴ τὸ ἑκουσίως νεκρῶσαι τὰ τοῦ σώματος μέλη (Κολοσσ. γ' 5) διὰ τὸν Κύριον ἐν ἁγνείᾳ καὶ παρθενείᾳ, οἷαν ὁ θεῖος Πρόδρομος, καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς καὶ Παῦλος «ὁ ἀείποτ' ὑποπιάζων καὶ δουλαγωγῶν τὸ σῶμα καὶ σταυρῶν τὴν σάρκα σὺν τοῖς παθήμασιν αὐτῆς καὶ ταῖς ἐπιθυμίαις καὶ ὑποτάσσων τοῦ Θεοῦ καὶ τῆς ψυχῆς τῷ νόμῳ τὸν ἐν τοῖς ἐπιρρεπέσι τῇ φθορᾷ καὶ τῇ ἀκαθαρσίᾳ μέλεσι χοϊκὸν καὶ ἀδαμιαῖον (τὸν ἐκ τοῦ προπατορικοῦ κατιόντα ἁμαρτήματος) νόμον, ἵνα Χριστὸν κερδαίνῃ;» (πρὸς Κορινθ. Α', 6', 27, Γαλάτ. ε', 24, Ρωμ. ζ', 23—25, Φιλιππ. γ', 8), καὶ οἱ λοιποὶ Ἀπόστολοι, οἳ ἔλεγον τῷ διδασκάλῳ «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα (ἆρα καὶ τὰς γυναῖκας, οἱ γυναῖκας ἔχοντες) καὶ ἠκολουθήσαμέν σοι» (Ματθ. ιθ', 27), ἀσκητικῶς ἐξήσκουν καὶ ἐπηγγέλλοντο; Προσθεὶς δὲ ὁ Κύριος τό· «ὁ δυνάμενος χωρεῖν χωρείτω», οὐχὶ φανερός ἐστι τῷ μὲν ῥήματι δυνάμενος, τὸ δυνατὸν καὶ κατορθωτὸν δείξας τῆς παρθενείας, τῷ δὲ προστακτικῷ χωρείτω, ὅτι καὶ ἀρέσκεται τοῖς χωρήσουσιν; Ἄμφω δέ, δύναμις ὁμοῦ καὶ χώρησις οὐκ ἐμφαίνει ἆρα ὅτι καὶ ἐξαιρέσεις ἔνι ποιήσασθαι τῆς γαμικῆς κοινωνίας; Εἴ τις ἔχει πνεῦμα Χριστοῦ καὶ τὸν νοῦν ἀδιάφθορον (ὡς οἱ πατέρες ἡμῶν) οὐκ ἂν ἄλλως ἑρμηνεύσειε τὰ θεόρρηστα ταῦτα ῥήματα. Ἀκούσωμεν δὲ καὶ τοῦ οὐρανοβάμονος Παύλου εἰ πανταχοῦ τὸν γάμον ἀσπάζεται καὶ τούτῳ μετρεῖ τὴν τοῦ ἀνθρώπου τελειότητα. «Περὶ δὲ ὧν ἐγράψατέ μοι, φησίν, (ἠρώτησαν γὰρ αὐτὸν καὶ περὶ τῶν παρθένων οἱ περὶ τὴν πίστιν ἀστοιχείωτοί πως Κορίνθιοι), καλὸν ἀνθρώπῳ γυναικὶ μὴ ἅπτεσθαι· (ἀκούεις τί καλὸν τῷ ἀνθρώπῳ; ἄκουε νῦν τίνος ἕνεκα συνεχωρήθη ὁ γάμος) διὰ δὲ τὰς πορνείας (ὃ ἐμφαίνει τὸν διεφθαρμένον ἄνθρωπον) ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, καὶ ἑκάστη τὸν ἴδιον ἄνδρα ἐχέτω... καὶ μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρόν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ (ἀκούεις, ὅτι ἐν νηστείᾳ καὶ προσευχῇ ἀνεπιτήδειον πέμπει ὁ γάμος;)· καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε (οὐχ ὡς καλὸν τῷ ἀνθρώπῳ), ἀλλ' ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν (ὁρᾷς, ὅτι, εἰ μὴ ἦν ἡ ἀκρασία, οὐκ ἂν ὅλως τὸ γαμεῖν ἐπέτρεψεν, ὡς ἐκ τοῦ ἐπιφερομένου δηλοῦται;). Τοῦτο δὲ λέγω (τὸ δεῖν συνέρχεσθαι) κατὰ συγγνώμην (εἴτουν ἐκ συγκαταβάσεως τῇ τῶν πολλῶν ἀκρασίᾳ), οὐ κατ' ἐπιταγήν (ὅπερ ἐστίν, οὐχ ὡς ἐντολὴν Θεοῦ οὐτ' ἐμήν). Θέλω γὰρ πάντας ἀνθρώπους εἶναι ὡς καὶ ἐμαυτόν (ἤτοι ἀγάμους)· ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ, ὃς μὲν οὕτως, ὃς δὲ οὕτως (ὥστε τὸ ὑπὲρ τὴν ἀκρασίαν παρθενεύειν Θεοῦ ἐστι χάρισμα). Λέγω δὲ τοῖς ἀγάμοις καὶ ταῖς χήραις, καλὸν αὐτοῖς ἐστιν ἐὰν μείνωσιν ὡς κἀγώ (ἤτοι ἄγαμοι καὶ παρθένοι)· εἰ δὲ οὐκ ἐγκρατεύονται (ἀμοιρήσαντες τοῦ θεοσδότου τούτου χαρίσματος), γαμησάτωσαν... Ἐὰν δὲ καὶ χωρισθῇ ἡ γυνή, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω... Περὶ δὲ τῶν παρθένων ἐπιταγὴν Κυρίου οὐκ ἔχω (ὅτι πάντας καὶ πάσας δεῖ παρθενεύειν)· γνώμην δὲ δίδωμι ὡς ἠλεημένος ὑπὸ Κυρίου πιστὸς εἶναι. Νομίζω οὖν τοῦτο καλὸν ὑπάρχει διὰ τὴν ἐνεστῶσαν ἀνάγκην, ὅτι καλὸν ἀνθρώπῳ τὸ οὕτως εἶναι (ἤτοι μένειν ὡς ἔτυχεν εὑρεθεὶς ἔγγαμος ἢ ἄγαμος)... τοῦτο δὲ φημί, ἀδελφοί, ὅτι ὁ καιρὸς συνεσταλμένος τὸ λοιπόν ἐστίν, «ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν (εἴτουν ἀγνεύωσιν, ὅση δύναμις)... καὶ οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ (ταῖς ἐγκοσμίοις ἡδοναῖς), ὡς μὴ καταχρώμενοι· παράγει δὲ τὸ σχῆμα τοῦ κόσμου τούτου (ὡς μάταιον καὶ ἐφήμερον), θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι (ἀπὸ τοῦ ματαίου κόσμου)· ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, πῶς ἀρέσκει τῷ Κυρίῳ· ὁ δὲ γαμήσας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικὶ» (συνίης διαφορὰν ὕψους καὶ βάθους βίων, Θεοῦ μερίμνης καὶ γυναικὸς μερίμνης;). Μεμέρισται (διακρίνεται, διαφέρει) ἡ γυνὴ καὶ ἡ παρθένος· ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου, ἵνα ᾖ ἁγία καὶ σώματι καὶ πνεύματι· ἡ δὲ γαμήσασα μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. Τοῦτο δὲ πρὸς τὸ ὑμῶν συμφέρον λέγω (τὸ ψυχικὸν καὶ τὸ σωματικόν), οὐχ ἵνα βρόχον ὑμῖν ἐπιβάλω (ἰδοὺ ἡ ὀρθόδοξος ἐλευθερία), ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως (ἰδοὺ βίος, κατὰ τὸν Ἀπόστολον, τῷ κληρικῷ μᾶλλον πρέπων)... Ὃς δὲ ἕστηκεν ἑδραῖος ἐν τῇ καρδίᾳ μὴ ἔχων ἀνάγκην (τὴν ἀνάγκην τοῦ φόβου μήποτε καταστρηνιάσῃ ὑπ' ἀκρασίας ἡ παρθένος αὐτοῦ), ἐξουσίαν δὲ ἔχει περὶ τοῦ ἰδίου θελήματος, καὶ τοῦτο κέκρικεν ἐν τῇ καρδίᾳ αὐτοῦ τοῦ τηρεῖν τὴν ἑαυτοῦ παρθένον, καλῶς ποιεῖ· ὥστε καὶ ὁ ἐκγαμίζων (διὰ τὴν ῥηθεῖσαν ἀνάγκην) καλῶς ποιεῖ· ὁ δὲ μὴ ἐκγαμίζων κρεῖσσον ποιεῖ· μακαριωτέρα δέ ἐστιν (ἡ χηρεύσασα γυνή), ἐὰν οὕτω μείνῃ κατὰ τὴν ἐμὴν γνώμην (καὶ ἵνα μηδεὶς ἀπάρθενος προτεστάντης ὑποκρούσῃ, ὅτι ἀνθρωπίνη ἐστὶ γνώμη ἡ γνώμη τοῦ μακαρίου Παύλου, προστίθησι)· δοκῶ δὲ κἀγὼ Πνεῦμα Θεοῦ ἔχειν (καὶ ἐν θείῳ πνεύματι ἆρα λέγειν ἃ λέγω και νουθετῶ)» Κορινθ. Α', ζ', πρβλ· καὶ θ', σ'). Οὐκοῦν, ἐπείπερ οὕτε οὕτως ἀσαφῆ καὶ Ἡρακλειτειά ἐστι τὰ ῥήματα ταῦτα τοῦ Κυρίου καὶ τοῦ σκεύους τῆς ἐκλογῆς, τοῦ ἕως τρίτου οὐρανοῦ ἀναβάντος διὰ τὴν καθαρότητα, ὥστ' ὑπ' ἐκείνων ἀμαυρωθῆναι, οὐκ ἔχεις ποτὲ βλασφημῶν (ἄπαγε) ἄλλο μὲν Πνεῦμα ταῦτ' ἐμπεπνευκέναι, ἄλλο δ' ἐκεῖνα· φανερόν, ὅτι ἐκεῖ μὲν ὁ Παῦλος λαλεῖ περὶ τοῦ γενικοῦ σχεδὸν νόμου

τῆς τῶν πολλῶν ἀκρασίας καὶ τῆς περὶ τὰ σαρκικὰ χυδαιότητος (ἐξοδ. α', 7), ἡ ἐν Εὐρώπῃ καὶ Ἀμερικῇ κορυφωθεῖσα καὶ λατρευθεῖσα οὐκ ἐπίσταται τί ἂν εἴη ἐπὶ τῆς γῆς ἡ ἐν τοῖς ὑψηλοτέροις καὶ τελειοτέροις ἰσάγγελος καὶ θεομέριμνος καὶ ἡγιασμένη ψυχῇ καὶ σώματι παρθενία· ᾧδε δὲ περὶ ταυτηνὶ καὶ τῶν ἄνωθεν εἰληφότων τὸ τηλικοῦτον καὶ θεοβράβευτον χάρισμα. Πῶς δὲ θεῖον ἡ ἀγαμία ἡ κατὰ Χριστὸν καὶ ὑπὲρ Χριστοῦ, ἐχρῆν σε εἰδέναι ἐξ ἁπαλῶν ὀνύχων μεμαθηκότα Θεοῦ γεγονέναι τὸ ἀπ' ἀρχῆς ὁμοίωσιν καὶ εἰκόνα τὸν ἄνθρωπον, οὕτως ἁπαθῆ, ὥστ' εἰμὴ ἔπιπτε πτῶμα ἐλεεινὸν καὶ ἐξαίσιον ἐν τοῖς πρωτοπλάστοις, ἐν οἷς ἡ ῥίζα τοῦ ἀνθρωπίνου δένδρου ἐφθάρη, τάχ' ἂν (ὡς ἀξιόχρεώς σοι ἐξηγητὴς ὁ Χρυσόλογος Ἰωάννης) ὁ τῶν ἁπάντων δημιουργός, ὁ ἐκ μὴ ὄντων τὸν πρῶτον ἄνθρωπον πλάσας, καὶ τέκνα τῷ Ἀβραὰμ ἐκ τῶν κοινῶν καὶ τυχαίων λίθων ἐγεῖραι δυνάμενος (Ματθ. γ', 9) καὶ χιλιάδας χιλιάδων καὶ μυρίας μυριάδων ἀγγέλων λόγῳ μόνῳ ἐν ῥιπῇ ὀφθαλμοῦ ἀναρῆναι, ἐξεῦρε τρόπον ὑπερζωώδη τῆς τῶν ἀνθρώπων αὐξήσεως. Εἰ δ' ἄρα οὐχ' ἱκανῶς σοι μεμελέτηται τὰ περὶ θείας εἰκόνος καὶ κάλλους τοῦ πρώτου ἀνθρώπου τοῦ πρὸ τῆς παραβάσεως, ἐφ' ὃν ἀνατρέχει ὁ παρθένος καὶ ἄγαμος, ἄκουε παρὰ τοῦ σοῦ συνεπαρχιώτου Πατρὸς καὶ φωστῆρος τὸ ὕψος, τὴν χάριν, τὴν ἀξίαν καὶ ὅλως τὸν τῆς ἀγαμίας σκοπὸν ἐν τοῖς ὀλίγοις τοῖσδε (τὰ γὰρ ὡς πλεῖστα καὶ περιγραφικώτερα παρὰ τῷ αὐτῷ σοφῷ διδασκάλῳ καὶ τῷ πολλῷ Χρυσοστόμῳ τῇ φιλομαθείᾳ σου ἐπαφίεται). «Ὁ ἄνθρωπος, φησί, κατ' εἰκόνα Θεοῦ ἐγένετο καὶ ὁμοίωσιν· ἡ δὲ ἁμαρτία «τὸ κάλλος τῆς εἰκόνος ἠχρείωσεν, εἰς τὰς ἐμπαθεῖς ἐπιθυμίας τὴν ψυχὴν καθέλκουσα». Ὁ δὲ Θεὸς ὁ ποιήσας τὸν ἄνθρωπον, ἡ ἀληθινή ἐστι ζωή. Ὁ οὖν ἀπολέσας τὴν πρὸς Θεὸν ὁμοιότητα, «ἀπώλεσε τὴν πρὸς τὴν ζωὴν οἰκειότητα». Τὸ δέ, ἐκτὸς τοῦ Θεοῦ ὄντα, ἐν τῇ μακαρίᾳ ζωῇ γενέσθαι, ἀμήχανον. Οὐκοῦν ἐπανέλθωμεν εἰς τὴν ἐξ ἀρχῆς χάριν, ἧς διὰ τῆς ἁμαρτίας ἠλλοτριώθημεν»· καὶ πάλιν «κατὰ τὴν τοῦ Θεοῦ εἰκόνα ἑαυτοὺς καλλωπίσωμεν, διὰ τῆς ἀπαθείας ὁμοιωθέντες τῷ κτίσαντι. Ὁ γὰρ τὸ ἀπαθὲς τῆς θείας φύσεως, καθὼς ἐστι δυνατόν, ἐφ' ἑαυτοῦ μιμησάμενος, οὗτος ἐπανέλαβεν ἐπὶ τῆς ἰδίας ψυχῆς τοῦ Θεοῦ τὴν εἰκόνα. Ὁ δὲ ὁμοιωθεὶς τῷ Θεῷ κατὰ τὸν ῥηθέντα τρόπον, καὶ τῆς θείας ζωῆς ἐκτήσατο πάντως τὴν ὁμοιότητα, εἰς τὸ διηνεκὲς παραμένων τῇ ἀϊδίῳ μακαριότητι. Εἰ οὖν διὰ τῆς ἀπαθείας τὴν εἰκόνα τοῦ Θεοῦ πάλιν ἀναλαμβάνομεν, ἡ δὲ πρὸς Θεὸν ὁμοιότης τὸ διηνεκὲς τῆς ζωῆς ἡμῶν χαρίζεται, πάντων ἀμελήσαντες τῶν ἄλλων, ταύτης γενώμεθα τῆς σπουδῆς, ὥστε μηδενὶ πάθει μηδέποτε καταδυναστευθῆναι ἡμῶν τὴν ψυχήν, ἀλλ' ἀκλινῆ καὶ ἀκατάβλητον ἐν ταῖς τῶν πειρασμῶν προσβολαῖς τὴν διάνοιαν ἡμῶν διαμένειν, ἵνα γενώμεθα τῆς θείας μακαριότητος μέτοχοι. Τῆς δὲ τοιαύτης σπουδῆς συνεργός ἐστιν ἡ παρθενεία τοῖς κατὰ λόγον μετιοῦσι τοῦτο τὰ χάρισμα. Οὐ γὰρ ἐν μόνῳ τῷ φείσασθαι τῆς παιδοποιίας κατορθοῦται τὸ χάρισμα τῆς παρθενείας· «ἀλλ' ἅπας ὁ βίος καὶ ἡ ζωὴ καὶ τὸ ἦθος παρθενεύειν ὀφείλει, διὰ παντὸς ἐπιτηδεύματος τοῦ ἀγάμου τὴν ἀφθορίαν ἐπιδεικνύμενος» . . . Ὁ γὰρ ἐν τούτοις πᾶσιν (ὀφθαλμῷ, ἀκοῇ, καρδίᾳ, βρώσει καὶ πόσει) ὑπὸ τὸν κανόνα τῆς παρθενείας ἑαυτὸν ἐγκρατείᾳ φυλλάσσων, ἀληθῶς δείκνυσι τελείαν ἐν ἑαυτῷ τῆς παρθενείας τὴν χάριν» κτλ. (Βασιλ. Μ. ἐν λόγῳ ἀσκητικῷ).

(ἀκολουθεῖ.)

Η ΠΑΤΡΙΑΡΧΙΚΗ ΜΕΓΑΛΗ ΤΟΥ ΓΕΝΟΥΣ ΣΧΟΛΗ

Ὑπὸ Μ. Δ. Χ.

(Συνέχεια· ἴδε προηγούμενον τεῦχος)

Τῇ 6 ὀκτωβρίου 1777 φρονευθέντος ἐν Ἰασίῳ ὑπὸ τοῦ Καρᾶ-Χισαρλῆ Ἀχμὲτ βέη τοῦ ἡγεμόνος Μολδαβίας Γρηγορίου Ἀλεξάνδρου Γίκα, ἐκλήθη εἰς διαδοχὴν αὐτοῦ ὁ ἀπὸ τριετίας Μ. διερμηνεὺς τῆς Ὑψ. Πύλης Ἰωάννης Κωνσταντῖνος Δημητρίου Μουρούζης, ἀπόγονος τοῦ ἐκ Τραπεζοῦντος ἐμπόρου Ἀδαμάκη Μουρούζη τοῦ νυμφευθέντος τὴν ἐγγόνην Παναγιωτάκη ἐκείνου τοῦ Νικουσίου. Ὁ Μουρούζης ἀπὸ τῶν μέσων τοῦ ιη' αἰῶνος παρίσταται ἐπὶ τῆς σκηνῆς σπουδαῖον διενεργῶν πρόσωπον ἐν τοῖς διοικητικοῖς τῆς ἐκκλησίας καὶ τοῦ γένους πράγμασι· κατέχων τὸ ἀξίωμα τοῦ ποστελνίκου, εἰς ὁ διεκρίθη καὶ ὁ θεῖος αὐτοῦ Ἀντίοχος, ἔλαβεν ἐνεργητικώτερον ἐν τοῖς κοινοῖς μέρος ἀπὸ τοῦ 1765, ὅτε ὁ οἰκτροῦ τέλους Σπαθάρης Γεώργιος, προνοήσας τὴν ἐπιφερομένην κατὰ τοῦ οἴκου αὐτοῦ καταιγίδα, συνέστησε τῷ ἡγεμόνι Στεφὰν-βόδᾳ Ρακοβίτζᾳ ἵνα ἀντ' αὐτοῦ διορίσῃ ἐπίτροπον αὐτοῦ παρὰ τῇ Ὑψ. Πύλῃ (καπὶ κεχαγιᾶν) τὸν ποστέλνικον Κ. Μουρούζην, ὃς διὰ τῶν γνώσεων αὐτοῦ μεγίστην ἐκέκτητο παρὰ τοῖς κρατοῦσιν ἐπιρροήν.

Γράφοντες τὴν ἱστορίαν τῆς πατριαρχικῆς ἡμῶν σχολῆς, ἀκαιρον νομίζομεν τὴν παρέκβασιν εἰς ἱστορικὰς ἐπισκοπήσεις τοῦ θέματος ἡμῶν ἀλλοτρίας, ὅθεν περιοριζόμεθα εἰς τὰς ὀλίγας ὡς ἄνω σημειώσεις ἀναφορικῶς τῷ ἀνδρί, παρ' οὗ τῇ σχολῇ ἐδωρήθη τὸ ἀγροτικὸν κτῆμα τοῦ Χοταρνιτζενίου διὰ τοῦ ἑπομένου χρυσοβούλλου (*) αὐτοῦ γράμματος·

Ἰωάννης Κωνσταντῖνος Δημητρίου Μουρούζης βοεβόδας, ἐλέῳ Θεοῦ αὐθέντης καὶ ἡγεμὼν πάσης Μολδοβλαχίας.

Τῶν ὅσα περ ἡ ἄφατος τοῦ δημιουργοῦ ἀγαθότης καὶ πρόνοια τοῖς ἀνθρώποις ἐπεδαψιλεύσατο ἀγαθά, τὸ μέγιστόν τε καὶ πρώτιστον, μᾶλλον δὲ τὸ θειότατον, εἶναι τὸν λόγον, ὡς θείου φωτὸς ὄντως ἀπαύγασμα, πάντες οἱ λόγου μετεσχηκότες συνῳδὰ τῇ ἀληθείᾳ ξυμῳδήσουσιν, οὐδ' αὐτῶν τῶν τὰς ὄψεις πεπηρωμένων ὀπωσοῦν ἐξαρνήσασθαι δυναμένων· ἐξαστράπτει γὰρ καὶ τούτων τοὺς ὀφθαλμοὺς ἡ προσηνὴς αὕτη τῆς ἀληθείας αἴγλη λαμπρῶς ἀποστίλβουσα. Καὶ γὰρ ἀτεχνῶς ὁ κατὰ παιδείαν λόγος οὐ χρυσοῦ καὶ ἀργύρου ἢ λίθων πολυτελῶν καὶ τιμίων, ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ φωτὸς τηλαυγέστερον διαλάμπων, ὡς λύχνος φωταυγὴς ἐν παντὶ τῷ τοῦ βίου δρόμῳ τὸ τῆς ἀληθείας ἰθυτενὲς καὶ ἀπρόσκοπον ἐνδει-

(*) Παρὰ Βυζαντινοῖς χρυσόβουλλα ἐκαλοῦντο τὰ αὐτοκρατορικὰ διατάγματα, ἅτινα διὰ χρυσῶν ὑπεγράφοντο γραμμάτων καὶ ὧν ἡ χρυσῆ βοῦλλα ἀπηωρητο κάτωθεν διὰ μεταξίνης ὁξείας. Ἦν δὲ τὸ χρυσόβουλλον, κατὰ τὸν Χωνιάτην "γράμμα ἐρυθροσήμαντον, σφραγῖδι τε χρυσέᾳ καὶ σηρικῷ νήματι ἔμπεδον, κόγχης ἀναδεδεμένῳ αἵματι,. Ἐκτὸς αὐτῶν ἦσαν ἐν χρήσει ἐν τοῖς αὐτοκρατορικοῖς γραφείοις καὶ τὰ ἀργυρόβουλλα καὶ τὰ μολυβδόβουλλα.

κνύει, ὅσα τε πρὸς εὕρεσιν καὶ κατάληψιν τῆς ἀληθοῦς εὐδαιμονίας καὶ ὅσα πρὸς ἐπίκτησιν τῆς ἐν τῷ βίῳ εὐπραγίας, αὐτὸς ταῖς δι' αὐτοῦ προσγινομέναις ἐπιστήμαις καὶ γνώσεσι θηράσιμα πάντα παρασκευάζων καὶ ὅλως, ὅσον τῆς πρὸς τὰ ἄλογα κοινωνίας τὸν ἄνθρωπον ὑπεραναστῶν, τοσοῦτον πρὸς τὸ θεῖον συνάπτων καὶ οἰκειούμενος. Ταύτῃ τοι καὶ πάντες μὲν, ὅσοι τὴν τῶν κοινῶν ἐκληρώσαντο προστασίαν, παιδείας ὀφείλουσιν ἀντιποιεῖσθαι, τῶν ταύτης θιασωτῶν προνοούμενοι καὶ εἰς ἀρετῆς πρόοδον τούτους ἐπὶ κοινῇ ἀφελείᾳ θαρρύνοντες ἀεί τε καὶ περιθάλποντες καὶ ἐν πᾶσιν, οἷς ἂν χρῄζοιεν, ἐπαρκοῦντες· ἡμῖν δ' εἴ πέρ τισιν ἄλλοις ἀπαραίτητον τοῦτο χρέος καὶ πάντων χρεῶν δικαιότατον. Καίτοι γὰρ μικρὸν καὶ ὅσον ἄκρος χείλεσι τῶν τῆς παιδείας μετασχοῦσι ναμάτων, ὁποῖά γε μὴν καὶ ὁπόσα ἐντεῦθεν εἰσερρύη τὰ ἀγαθά, αὕτη ἡμῖν ἐν πᾶσιν ἀντὶ πάντων ἐγένετο μήτηρ ὡς ἀληθῶς, οὐ τὸ λεγόμενον εὖ εἶναι, καὶ αὐτὸ δὲ τοῦτο τὸ εἶναι ὁλοσχερὲς διασώσασα· οὐδὲ γὰρ ἂν ὑποσταίημεν καρτεροῦντες πρὸς τοσαῦτα καὶ τηλικαῦτα δεινά, οἷς μάλιστα οἱ τὸν τοῦ πολιτικοῦ βίου διαπερῶντες κλύδωνα προσπαλαίουσιν, εἰ μὴ αὕτη ἡ τροφὸς ἐξ ἁπαλῶν ὀνύχων φανεῖσα καὶ τῷ γλυκυτάτῳ αὐτῆς γάλακτι ἀσθενῆ καὶ νεογνὸν τέως ἐκθρέψασα, περαιτέρω προέδῃ χειραγωγοῦσα, πολλαχῶς τε ἄλλως οὖσα ἐπαρωγὸς καὶ ὑπέρμαχος καὶ εἰς αὐτὰ τὰ ἀρχεῖα ποδηγετοῦσα καὶ κρατούντων πρυτανευομένη εὐμένειαν καὶ συστέλλουσα μὲν ἐν εὐτυχίαις καὶ τῶν ἐπισφαλῶν ὅσων ἀναχαιτίζουσα, ἀναρρωννῦσα δὲ ἐν ταῖς δυσπραγίαις καὶ ἐνισχύουσα καὶ ἐν θλίψεσι παραμυθοῦσα ταῖς ὑποθήκαις τῶν τε πάλαι καὶ νῦν, ὡς λυχνία φωταυγὴς ἐν ἀγνοίᾳ μυρίας ὅσας τὰς πρὸς σωτηρίαν ὁδοὺς ἐν σκότει καὶ ἀπορίᾳ πραγμάτων ἡμῖν ὑπεμφαίνουσα. Ταύτην γὰρ μόνην ἀντὶ παντοίας οὐσίας ἡμῖν καὶ ὁ ἀείμνηστος πατὴρ οἱονεί τι κειμήλιον ἐπιδείξας, προστάτην εἰδέναι καὶ ὁδηγὸν ἐνετείλατο, οὐδὲ ψευσάμενος τῶν ἐλπίδων. Τύχῃ τε γὰρ καὶ ταῖς ἐκ ταύτης στροφαῖς καὶ παλιρροίαις χαίρειν εἰποῦσιν, ἀντ' ὄλβου ἡμῖν καὶ θησαυρῶν ἡ φιλτάτη ἐν ἀκροτάτῃ ἀμηχανίᾳ διήρκεσεν. Αὕτη καὶ κινδύνων ἐρρύσατο καὶ δεινοτάτων ἐχθρῶν παρ' ἐλπίδα κρείττονας ἀναδείξασα, ἀντὶ συμφορᾶς ἐκ διαβολῶν εἰς ἀπέρθειαν κρατούντων ἀπειλουμένης κλέος τε καὶ ἀξίαν περιεποιήσατο· καὶ ἐν αὐτοῖς δὲ τούτοις πολλαῖς αὖθις ἐντυχοῦσι δυσχερείαις, σκολιαῖς τε καὶ ὡς λαβυρινθώδεσι δυσεξελίκτοις περιπετείαις, αὕτη ἡμῖν ὡς ἀριάδνειος μίτος ἁπλανῆ τὴν διέξοδον καθυπέδειξεν. Ἀντὶ τούτων οὖν καὶ τῶν τοιούτων καλῶν, πολλῶν τῇ παιδείᾳ παρ' ἡμῶν ὀφειλομένων τροφείων τε καὶ χαριστηρίων, ἀποδοῦναι μέν τι ἐπάξιον, ἢ τὸ πολλοστημόριον γοῦν ἀμείψασθαι, ὡς καὶ φαντασθῆναι ὅλως ἀμήχανον, οὐδὲ τὴν ἀρχὴν ἐπιχειροῦσιν, ἀχαριστίας δ' αὖθις αἰτίαν φυγεῖν διενλαβουμένοις καὶ πολλοὺς πολλάκις τῶν εἰς ἀρσίωσίν τινα τοῦ τοιούτου χρέους καθ' ἑαυτοὺς ἀνελίττουσι λογισμούς, ὡς ἂν ἐκ τῶν ἐνόντων μὴ διαλιπεῖν τι ὀπωσοῦν προθυμότατα αἱρουμένοις, τοῦτο ἡμῖν ἅμα ἐπῆει τέλος συμπεραίνουσιν ὡδέ πως. Τὴν ἐν Μολδαβίᾳ ἐνταῦθα σχολὴν εἰδότες, καίτοι γε ἱκανῶν εὐμοιροῦσαν σιτηρεσίων, οὐκ ἀποχρῶσαν ἔμπης εἰς κοινήν τινα τοῦ γένους ὠφέλειαν, οὐ πάνυ τοι ἐπιχωριάζειν εἰωθότων τοῖς ὧδε τῶν ταῖς ἐπιστήμαις εὐδοκιμούντων ἀνδρῶν, ἀλλ' εἴτε διὰ τὸ τοῦ κλίματος ἀσύνετες καὶ οὐ λίαν δοκοῦν ἐκείνοις ὑγιεινόν, εἴτ' οὖνδιὰ τὰς ἐπισυμβαινούσας ἐκ περιστάσεων μεταβολὰς καὶ τὰς ἐκ τούτων δυσχερείας τὴν ἐνταῦθα ὅλως διατριβὴν ἀπαντενομένων, τὸ δ' ἐν τῇ νήσῳ Πάτμῳ φροντιστήριον ἐλλογίμων καὶ σπουδαίων ἀνδρῶν εὐφορώτερον ἐγνωκότες, οὐκ ὀλίγων ἐκεῖθεν πολλαχῇ τῆς Ἑλλάδος διασπανθέντων, ἐπὶ τούτοις καὶ ἡμεῖς μέλος τι βοηθείας εἰς τὴν τούτου σύστασιν κατεβάλομεν. Ὑπέρκειται δ' οὖν τῶν ἑλληνομουσείων ἁπάντων, ὡς γε εἰκός, ἡ ἐν τῇ βασιλευούσῃ, ὡς περιωπῇ μεσαιτάτη σχολή, προστασίας τε εὐμοιροῦσα τῆς παρὰ τῆς ἁγίας καὶ ἱερᾶς συνόδου καὶ παντὸς τοῦ εὐαγοῦς κλήρου, καὶ τῆς τῶν προκρίτων τοῦ γένους ἐπικουρίας ἐπαπολαύουσα, ἐν ᾗ καὶ ἡ τῶν μαθητιώντων ἅμιλλα, ἄλλου ἐπ' ἄλλαις φιλοτιμουμένου ἐλπίσι, παραθήγειν εἶχε τὸ πρόθυμον, ὥσθ' οὕτω ταύτην τῶν ἄλλων ἐπιτηδειοτέραν εἰς ἐπίδοσιν παιδείας καὶ πρόοδον ἀναφαίνεσθαι. Τί δ' ἄρα τὸ ἐμποδὼν καὶ ᾧ χωλαίνουσα δοκεῖ τῶν ἄλλων ἐλλείπεσθαι, ἢ ὅτι ἡ ἐν ταύτῃ μαθητευόμενοι ἀβρότερον μέν πως, οἷα δὴ ἐν τῇ βασιλευούσῃ τῶν πόλεων βιοτεύοντες, τῶν δ' ἀναγκαίων εἶτα σπανίζοντες, πόρον τινὰ πόθεν μηχανώμενοι, οἱ μὲν κατ' οἶκους διδασκαλίαν ἢ παιδαγωγίαν, οἱ δὲ μουσικήν, καὶ ἄλλος ἄλλον τινὰ πρὸς ζωάρκειαν θηρεύοντες πόρον, καὶ οὕτω δὴ τὴν παιδείαν πάρεργον μετιόντες, οὐ δύνανται τοῖς μαθήμασιν, ὡς χρή, παρακολουθεῖν, καὶ τὸ κακὸν ἀεὶ ἀνίατον διαμένοι, εἰ μὴ δυνηθεῖέν ποτε τῶν ἀναγκαίων εὐμοιροῦντες, ὅλους ἑαυτοὺς τῇ κατὰ παιδείαν σχολῇ καὶ μελέτῃ ἀπερισπάστως καθοσιώσασθαι; Ταῦτ' οὖν ἀκριβῶς εἰδότες, καὶ τούτων ἀντιλαβέσθαι προθυμηθέντες, πάντων τῶν πρὸ ἡμῶν τῆς ἡγεμονίας ταύτης ἀναδεξαμένων τοὺς οἴακας πλείστοις ὅσοις χρυσοβούλλοις ἐκ τῶν κοινῶν πόρων καὶ τῶν ἡγεμονικῶν κτημάτων οὐ μόνον εἰς ναοὺς καὶ μοναστήρια ἀφιερωσάντων, ἀλλ' ἔτι καὶ ἰδίᾳ οἰκείοις αὐτῶν οἰκέταις χαρισαμένων, οὐκ ἀπεικότως εἴχομεν ἂν καὶ ἡμεῖς ἐκ τῶν τοιούτων οὕτως ἰδίοις ἡμῶν χρυσοβούλλοις τὴν τῶν φιλομούστων ἀνάγκην παραμυθήσασθαι. Ἀλλὰ γάρ, ἵνα μὴ' ἡμεῖς, ἐξ ὧν πρὸς καιρὸν καρπούμεθα, ἀλλότριον πόρον φιλοτιμεῖσθαι δοκῶμεν, καὶ τὰ τοῖς μαθητιῶσι παρ' ἡμῶν διορισθέντα ἀπαράτρεπτα καὶ ἀδιάσειστα διαμένῃ, ἐξ ἰδίων ταῦτα χρημάτων ἔγνωμεν διατάξασθαι, οὐδένα τῶν κοινῶν πόρον παραβλάπτοντες, οὐδ' ὁπωσοῦν τοὺς μεθ' ἡμᾶς ζημιοῦντες, τοὐναντίον δὲ μᾶλλον ἴδιον πόρον τοῖς μαθηταῖς περιποιησάμενοι, ἐξ ὧν πολλοῖς καὶ ἀτρύτοις μόχθοις καὶ τῇ τῶν κρατούντων πρὸς ἡμᾶς εὐμενείᾳ, τήν τε ἡγεμονίαν ταύτην πολλῶν καὶ ποικίλλων ἀπηλλάξαμεν περισπασμῶν καὶ κινδύνων καὶ τοῖς ἀεὶποθ' ἡγεμονεύουσι πόρον οὐ τὸν τυχόντα προσεκτησάμεθα· ἡ γὰρ τῶν παρὰ πᾶσιν ἤδη γνωστῶν δύο πρὸς ταῖς τριάκοντα ὡρῶν γῇ ἡ τοῖς Σκύθαις πολλάκις τῆς Μολδαβίας ἀποσπασθεῖσα ὅσων τε καὶ οἵων κακῶν παραίτιος γέγονεν, οὐκ ἀγνοοῦσι πάντες ὅσοι τῶν τοιούτων εἰδήμονες. Περὶ ἧς οἱ πρὸ ἡμῶν ἐπὶ τῷ ἀνακτήσασθαι ταύτην ἀναποσπάστως καὶ ὡς κτῆμα ἴδιον ἀδεῶς καρποῦσθαι καὶ νέμεσθαι οὐδεμίαν φροντίδα καταβαλόντες, ἀλλ' ἐλπίσι κεναῖς καὶ λέξεσι ψιλαῖς τοῖς οἰκείοις αὐτῶν ὡς ἰδιόκτητόν τι ἐπονομάσαι διενοήθησαν, οὐ μὴν δὲ τοῦτο καὶ ἔργῳ ἐμπαιδῶσαι προεθυμήθησαν, ἀλλ' οὐδὲ προθυμηθέντες ποτ' ἂν ἠδυνήθησαν, τῶν πέριξ Σκυθῶν τῇ συνήθει πλεονεξίᾳ ἐπεμβαινόντων καὶ τὰ πλεῖω τῆς γῆς ταύτης οἰκούντων καὶ βίᾳ κατακρατούντων, κἀντεῦθεν μᾶλλον τὸ κοινὸν ἐλυμήναντο, ἐπὶ τῇ ἀναζητήσει δηθεν τῆς τῶν ἐκκαίδεκα ὡρῶν γῆς κενοφανῶς αὐτοῖς οἰκειοποιηθείσης εὐμαρεστέραν τοῖς Σκύθαις τὴν εἴσοδον διανοίξαντες. Ἐπεί περ οὖν ἤδη οἱ εὐμενέστατοι ἡμῶν αὐθένται τῇ συνήθει πρὸς ἡμᾶς εὐμενείᾳ χρησάμενοι, τὴν μὲν διαληφθεῖσαν γῆς τῆς ἀδίκου τῶν Σκυθῶν ἐπηρείας ἀπήλλαξαν, ὡς βασιλικοῦ δὲ κτήματος ἀπεμπολουμένου τοῦ ἐκεῖ τόπου, τὰ ἐκ τῆς πωλήσεως χρήματα εἰς τὸ δημόσιον ἀνακτορικὸν ταμεῖον δοθῆναι ἐκέλευσαν, ἐν τούτῳ δὴ πάντων ἐνταῦθα τῶν αὐτοχθόνων συστελλομένων καὶ ἀποποιουμένων τὴν ὠνησιν, ὡς ἀεὶ τὴν τῶν Σκυθῶν ἀπαλλαγὴν ἀπελπιζόντων, ἡμετέρᾳ προτροπῇ καὶ ὑποσχέσει ὁ πανιερώτατος μητροπολίτης Μολδαβίας κὺρ Γαβριὴλ ἐπτὰ χιλιάδας γροσίων καταβαλὼν, πρὸς δὲ καὶ ἕτερα πεντακόσια γρόσια ἐπὶ τῇ τῶν βασιλικῶν εἰς ἐμπέδωσιν ἱερῶν ὁρισμῶν καὶ τοῦ τουρκιστὶ μουλκναμέϊ χουμαγιοῦν, λεγομένου ἐκδόσει, ὠνήσατο τὴν γῆν ταύτην, μήκει μὲν ἐκκαίδεκα, πλάτει δὲ δύο ἢ που τριῶν ὡρῶν ἐξικνουμένην, ὡς ἐν τῷ περὶ τούτου τῆς ὁροθεσίας μολδαβικῷ ἡμῶν χρυσοβούλλῳ κατὰ πάντα τὰ ὅρια σαφῶς διαφαίνεται. Ἀλλ' οὐδ' οὕτως οἱ Σκύθαι τὴν ἀναζήτησιν παρῃτήσαντο· ἐπεμβαίνοντες δὲ μᾶλλον καὶ καταχρώμενοι συνήθως, ὅσα μὲν ἡμῖν πράγματα παρέσχον, μέχρι δὲ τίνος ταῖς τῶν κρατούντων ἀκοαῖς παρηνώχλησαν, γνωστὸν καὶ τοῦτο οἷς τὰ τοιαῦτα εἰδέναι εἰκός. Πάλιν οὖν αὖθις καὶ ἡμεῖς τῇ αὐτῇ ταύτῃ ἀσφαλεῖ προστασίᾳ, τῇ τῶν εὐμενεστάτων αὐθεντῶν ἐπελπίσαντες δικαιοσύνῃ καὶ εὐμενείᾳ, ἐπὶ τοσοῦτον ἠγωνίσθημεν, ὥστε νύκτας ὅλας καὶ ἡμέρας τοῖς περὶ τούτου πόνοις ἐγκαρτερήσαντες,

τέλος διὰ βασιλικῶν ἱερῶν ὁρισμῶν τὴν κατὰ τὸ δίκαιον ὁροθεσίαν διεπραξάμεθα, καὶ διὰ τῶν ἐπὶ τούτῳ παρὰ τῆς κραταιᾶς βασιλείας τεταγμένων τοῦ βοεδόνδα τοῦ Κουσανίου καὶ τῶν λοιπῶν ἐκεῖθεν, ἐντεῦθεν δὲ τεσσάρων ἐκ τῶν ἡμετέρων ἐντοπίων ἀρχόντων, καὶ ἑτέρων ἔτι ἐξ ἄλλων ἡμετέρων, μόχθοις τε πολλοῖς καὶ οὐ σμικρᾷ ἰδίᾳ ἡμῶν δαπάνῃ, ἑκκαίδεκα ὡρῶν γῇ τοῖς Σκύθαις ἐπὶ ρητοῖς κεφαλαίοις, καὶ πρὸ πάντων, εἰ τὰ ὑποσχεθέντα μέχρι τέλους διατηροῖεν, λόγῳ συγκαταβάσεως προσοικειοῦσθαι καὶ καρποῦσθαι παρεχωρήθη. Ἀπὸ δὲ τῆς τῶν λοιπῶν ἑκκαίδεκα ὡρῶν γῆς πάντες οἱ εἰσκεχωρηκότες Σκύθαι ἀποβληθέντες, κοινῇ ἁπάντων γνώμῃ μηδέποτ' ἂν τολμῆσαι ἤτοι ἔργῳ ἢ λόγῳ τὴν τῆς γῆς ταύτης κατάχρησιν ἢ ἀναζήτησιν δι' ὁμολογίας κοινῆς καὶ τοῦ τῆς κρίσεως χοτζετίου καθυπεσχέθησαν. Ἔκτοτε οὖν ἡ γῆ αὕτη, ἥτις καὶ Χοταρνιτζένι καλεῖται, ὡς εἰς τὴν Μολδαβίαν ἀνῆκον ἴδιον κτῆμα καὶ ἀναπόσπαστον, ἀσινὴς καὶ ἀνεπηρέαστος διαμένει. Ἡμεῖς δ' εἶτα καὶ ἐξ ἰδίων ἡμῶν χρημάτων τοῦ ἀνήκοντος ἔκπαλαι τοῖς ἡγεμόσιν ἰδίου πόρου, τῶν βαμμάτων(α) λεγομένου, ὠνησάμεθα παρὰ τοῦ πανιερωτάτου μητροπολίτου τὸ ρηθὲν Χοταρνιτζένι, ὡς φαίνεται καὶ ἐν τῷ ἰδίῳ τῆς αὐτοῦ πανιερότητος ἀποδεικτικῷ τῆς πωλήσεως γράμματι, ταῖς τῶν ἡμετέρων ἀρχόντων ὑπογραφαῖς καὶ μαρτυρίαις, ὡς ἔθος, ἐμπεδωθέντι. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἰδίᾳ ἔτι ἡμετέρᾳ δαπάνῃ λίμναι, τὰ κοινῶς χιλιστέα, καὶ μύλοι προσετέθησαν, προστασίᾳ τε ἡμετέρᾳ καὶ ἀνυδοσίας ἐνιαυσίου ὑποσχέσει ἱκανοὶ ἄνδρωποι προσεκτήθησαν ἐπὶ τῷ τῆς χώρας οἰκισμῷ, ὅπερ εἰς ἀεὶ ἐπωφελέστατον τῇ τε ἡγεμονίᾳ καὶ τοῖς μεθ' ἡμᾶς ἡγεμόσιν· ἔξουσι γὰρ ἀδεῶς τοῦ λοιποῦ κερποῦσθαι τοὺς εἰθισμένους αὐτοῖς δασμοὺς ἀπὸ πάντων, σὺν τῇ ἰδίᾳ κτήσει τῆς γῆς, καθ' ἃ δὴ καὶ πάντα τὰ μωσιῶν ὀνόματι γνωστὰ κτήματα, μοναστηριακὰ καὶ ἀρχοντικά. Ἐξ ἁπάντων δὴ τῶν τοιούτων κτημάτων τῆς εἰωθυίας προσόδου τοῖς κυρίοις αὐτῶν ἐπὶ τὸ κρεῖττον ἀεὶ πεφυκυίας προβαίνειν, ἐν ταύτῃ μάλιστα τῇ γῇ καὶ πολλαπλασίῳ προσδοκᾶν ἐσομένην πρόδηλον· τοὐντεῦθεν γὰρ καὶ ἐν ἄλλοις τῶν ἐκεῖ χωρίων, ὅσ' ἂν ἐπιτήδεια δόξῃ, λίμναι τε πολλαί, τὰ χιλιστέα λεγόμενα, καὶ ἀγροὶ καὶ ἀμπελῶνες καὶ ἄλλ', ὅσ' ἂν ἐξῇ, πλεῖστον τὸν πόρον ἔχοντα, προσγινόμενα συνεχῶς ἐπαύξει, καὶ ταῦτα τῶν οἰκούντων τὴν χώραν ὁσημέραι συρρεόντων ἐκείσε καὶ πληθυνομένων. Διὸ δὴ προθυμουμένοις ἡμῖν ἐκ τῆς γῆς ταύτης ἀπαρτίσασθαι καὶ ἀναδείξαι ἀνάθημα τῷ γένει ἐπωφελέστατον, οὐχ οἷόν τε ἀκριβῶς καὶ διωρισμένως τὴν τούτου ποσότητα διατάξασθαι, ταῦτ' ἄρα φιλοτιμηθέντες ἅπασαν τὴν διαληφθεῖσαν τῶν ἑκκαίδεκα ὡρῶν γῆν, ὡς ἰδίοις ἡμῶν χρήμασι προσκτηθὲν ἡμέτερον κτῆμα, εἰς τὴν ἐν Κωνσταντινουπόλει σχολὴν καὶ τὸ τοῦ ἐνταῦθα νοσοκομείου μοναστήριον ἀνεθέμεθα. Ὅπως δέ, ὃν ἀσφαλὲς τὸ ἀφιέρωμα τοῦτο, μεθ' ὅ,τι πλείστης ἐπιμελείας παρὰ τῶν ἐνταῦθα οἰκονομοῖτο, ἀποφαινόμενοι διορίζομεν ἵνα ἐκ τῆς ἀνηκούσης ἡμῖν ἐτησίου προσόδου τῆς διαληφθείσης γῆς, ὡς ἡμετέρου κτήματος, χορηγῶνται κατ' ἔτος τῶν ἐν Κωνσταντινουπόλει μαθητευομένων δυοκαίδεκα τοῖς εὐδοκιμωτέροις γρ. χίλια διακόσια· τῶν δὲ λοιπῶν ὅσων, ἐπίσης δίχα διαιρουμένων, τὰ μὲν ἡμίσῃ αὖθις τοῖς ἐν Κωνσταντινουπόλει μαθηταῖς, ὡς ἐφεξῆς δηλωθήσεται, τὰ δ' ἕτερα ἡμίσῃ οἱ τοῦ ἐνταῦθα νοσοκομείου ἐπίτροποι παραλαμβάνοντες ὀφείλουσι δαπανᾶν ἐπὶ ταῖς χρείαις τῶν κατ' ἔτος ἐξόδων τοῦ ἰδιαιτέρου νοσοκομείου, ὅπερ ἐν τῷ αὐτῷ μοναστηρίῳ οἰκοδομηθήσεται, ἐπὶ ἀνέσει καὶ περιθάλψει τῶν ὅσοι τιμιώτεροι τῶν ἀσθενούντων, ἢ ξένοι, ἢ μὴ δυνάμενοι φέρειν τὴν τοῦ κοινοῦ νοσοκομείου στενοχωρίαν καὶ θλῖψιν, ἢ ὁπωσοῦν ἄλλως τύχωσι δυστυχοῦντες. Ἐπὶ δὲ τούτοις, ἐφ' ᾧ τὰ τοῦ ἀναθήματος ὀρθῶς καὶ εἰς δέον οἰκονομούμενα διηνεκῶς διαμένειν ἔχει, τὰ περὶ τῶν ἐπιτρότων τῶνδε καὶ προστατῶν προδιασκεψάμενοι, πρῶτον τοὺς κατὰ καιρὸν ἀεὶ λαχόντας τῆς ἁγιωτάτης μητροπόλεως Μολδαβίας προΐστασθαι εὐλαβῶς ἀξιοῦμεν ὅπως ἀείποτε, ὡς πνευματικοὶ ποιμένες καὶ φῶτα ἀρετῆς, φιλανθρωπίᾳ καὶ φιλομαθείᾳ διαλάμπειν ὀφείλοντες, ἀδιάλειπτον ἔχοιεν τὴν φροντίδα εἰς σύστασίν τε καὶ αὔξησιν καὶ διαμονὴν ἁπάντων τούτων τῶν παρ' ἡμῶν ἀφιερωθέντων ἀπαιτουμένην, σύναμα καὶ τῷ κατὰ καιροὺς μεγάλῳ λογοθέτῃ καὶ μεγάλῳ βεστιαρίῳ συνεργοῦσι προθύμως ἐπὶ τῷ κήδεσθαι καὶ λόγον ἅμα ζητεῖν καὶ λαμβάνειν περί τε τῶν προσόδων τοῦ Χοταρνιτζενίου καὶ τῶν ἐξόδων, εἴτ' οὖν τῶν τοῖς ἐν βασιλευούσῃ μαθηταῖς καὶ τῶν τῷ νοσοκομείῳ διδομένων κατ' ἔτος παρὰ τῶν καθ' αὐτὸ ἐπιτρόπων· οὗτοι δ' ἔσονται οἱ ἑκάστοτε ἐπίτροποι τοῦ ὅλου νοσοκομείου καὶ οἱ ἡμέτεροι γαμβροὶ καὶ οἱ ἐκ τῶν θυγατέρων ἡμῶν ἀπόγονοι, εἴτινες ὀφείλουσιν ἐπιμελεῖσθαι τοῦ Χοταρνιτζενίου καὶ ἐπίτροπον ἐκλέγειν τὸν ἐν πίστει καὶ προθυμίᾳ τὴν τοῦ ὅλου φροντίδα κοινῶς ἀναδεχθησόμενον, ἢ καὶ ἀπεμπολεῖν κατ' ἔτος τὰς λίμνας καὶ μύλους καὶ ἀγροὺς καὶ ὅσ' ἄλλα ἐπικερδῆ. Κἀκ τούτων πρὸ πάντων μὲν πέμπειν ἀσφαλῶς τὰ χίλια διακόσια γρόσια τοῖς ἐν Κωνσταντινουπόλει τῆς σχολῆς ἐπιτρόποις διδόμενα, ὡς διατεταγμένα, εἶτα δέ, ὅσ' ἂν ἐκ τῆς προσόδου τοῦ αὐτοῦ Χοταρνιτζενίου προσπορίζόμενα πλεονάζοιεν, καὶ ταῦτα τοῖς ἀμφοῖν ἐπιτρόποις διανεμόμενα δίχα ἐξ ἡμισείας παρέχοιντο. Ἐπεὶ δὲ διὰ χρυσοβούλλων πολλῶν τῶν πρὸ ἡμῶν αὐθεντῶν ἀνὰ πεντακόσια γρόσια παρὰ τῆς ἡγεμονίας ταύτης Μολδαβίας ὥριστο κατ' ἔτος δίδοσθαι τῇ ἐν Κωνσταντινουπόλει σχολῇ, ἀντὶ τούτων ἡμεῖς δι' ἑτέρου ἡμῶν μολδαβικοῦ χρυσοβούλλου χίλια διακόσια γρόσια οὕτως διατάξασθαι ἔγνωμεν. Πάλαι μὲν γὰρ ἅπαντες οἱ ἱερεῖς καὶ διάκονοι δημηνιαίους δασμούς, ὡς ὁ κοινὸς λαὸς ἅπας, τοῖς ἡγεμόσιν ἐδίδοσαν, εἶτα δέ, τούτων σμικρυνθέντων, εἰς τὰ ἐν Μολδαβίᾳ φροντιστήρια μέρος τι διὰ χειρὸς τοῦ πανιερωτάτου μητροπολίτου συνεισφέροντες ἅπαξ τοῦ ἐνιαυτοῦ καὶ τὴν μολδαβιστιάζουτορίντσαν(β) λεγομένην τοῖς ἡγεμόσι προσεχορήγουν, μυρία ὅσα πάσχοντες τὰ δεινά, θλιβόμενοι παρὰ τῶν λαϊκῶν φορολόγων, πολλάκις δ' ἐν εἱρκταῖς πιεζόμενοι καὶ περιῤῥορούμενοι. Δόξαν οὖν ἡμῖν τὸ τοιοῦτον ἀπρεπὲς καὶ ἀνόσιον, εἴ γε οἱ τοῦ Ὑψίστου θεράποντες, οἱ τοῦ λαοῦ ὑπερεύχεσθαι καὶ τοῦτον ἀεὶ διδάσκειν κεκληρωμένοι, ἐπὶ βραχεῖ ἐράνῳ καὶ πόρῳ σμικρῷ ἀναιδῶς οὕτως ὀλιγωροῖντο καὶ θλίβοιντο, πάντας αὐτοὺς ἁπάσης δασμοφορίας ἐλευθερώσαντες, τοσούτου βάρους ἀνεκουφίσαμεν· οἱ δὲ τοιαύτης ἤδη τιμῆς καὶ προνομίας τετυχηκότες, εὔχεσθαι ὑπὲρ τοῦ λαοῦ ἐκτενῶς ὀφείλουσι καὶ τοῦτον εἰς ἀρετὴν ὁδηγεῖν οὐχ ἁπλῶς καὶ εἰκῇ, ὅσον τὸ ἔθος, ἀφοσιώσασθαι, ἀλλὰ τῇ κατὰ τοὺς ἐκκλησιαστικοὺς κανόνας ἐκλογῇ ἐπὶ τὸν τῆς ἱερωσύνης βαθμὸν ἀνερχόμενοι, καὶ ἅπερ οὗτοι κατ' ἔτος διδόναι αὐτοπροαιρέτως ἐξέχθησαν ἑξήκοντα ἄσπρα, ταῦτα μόνα τῷ μητροπολίτῃ διδόντες ἐφησυχάζοιεν, ἡ δὲ πανιερότης αὐτοῦ ἐκ τούτων πέμποι τοῖς ἐπιτρόποις τῆς ἐν Κωνσταντινουπόλει σχολῆς χίλια διακόσια γρόσια, ἀνήκοντα καὶ ταῦτα τοῖς δώδεκα μαθηταῖς. Ἀλλὰ γάρ, ἵνα ταῦτά τε καὶ τὰ ἐκ τοῦ Χοταρνιτζένιου ὀρθότερον οἰκονομῶνται καὶ διατάττωνται, πρῶτον τὸν κατ' ἐνέργειαν ἀεὶ λαχόντα τοῦ οἰκουμενικοῦ πατριαρχικοῦ θρόνου προστάτην καὶ ἀρχιποιμένα εὐλαβῶς ἀξιοῦμεν ἵνα, ὡς κριτὴς τοῦ γένους πνευματικὸς πατὴρ καὶ προστάτης, μὴ ἀπαξιοῖ καὶ τοῦ καλοῦ τούτου προνοεῖσθαί τε καὶ φροντίζειν καὶ ὑπερίστασθαι· ἐπίτροποι δὲ οἱ ἰδιαίτερον τῆς τῶν ἀφιερωθέντων τούτων χρημάτων διανομῆς τὴν ἐπιμέλειαν ἔξοντες, ἐνώπιον αὐτῆς τῆς ὑπερουσίου αὐτοσοφίας καὶ αὐτοαγαθότητος παρ' ἡμῶν προσκαλούμενοι ὡς ὑπὲρ παντὸς τοῦ γένους λόγον ὑφέξοντες, ὀφείλουσιν ἐπιμελῶς καὶ προθύμως τοῖς παρ' ἡμῶν διορισθεῖσι πᾶσιν ἐπιμένειν ἀπαρασάλευτα· οὗτοι δ' ἔσονται οἱ κατὰ καιροὺς πανιερώτατοι μητροπολῖται Χαλκηδόνος καὶ Δέρκων, οἵ τε δύο πρόκριτοι τῆς αὐθεντίας Μολδοβλαχίας ἄρχοντες καπουκεχαγιάδες καὶ οἱ τοῦ σχολείου ἐπίτροποι. Οἱ δὲ ἡμέτεροι υἱοὶ καὶ ἀπόγονοι πάντες ὀφείλουσι προκαλεῖν τε καὶ παροτρύνειν τοὺς διαληφθέντας ἅπαντας ἐπὶ τὸ ἐπιμελεῖσθαι, ὡς δεῖ, ἐνεργοῦντας τὰ εἰς τὴν τῶν τεταγμένων ἐκπλήρωσιν, ἣν τινα διατάττομεν οὕτωσί. Τὰ μὲν χίλια διακόσια

(α) = τελωνείων.

(β) = βοήθειαν.

γρόσια τὰ ἐκ τοῦ Χοτ αρνιτζενίου διδόσθω κατ' ἔτος δυοκαίδεκα μαθηταῖς, ἑκάστῳ ἀνὰ γρ. ἑκατόν· τὰ δ' ἕτερα χίλια διακόσια γρόσια, τὰ ἐκ τοῦ ἱερατείου, δαπανάσθω ἐν τῷ σχολείῳ ἐπὶ κοινῇ τραπέζῃ τῶν δώδεκα τούτων μαθητῶν. Ἡ δὲ τούτων ἐκλογὴ καλῶς ἂν γίγνοιτο ὧδέ πως. Ἅπαξ τοῦ ἐνιαυτοῦ ἁπάντων τῶν ῥηθέντων ἐπιτρόπων συνερχομένων, τῶν τε διδασκάλων τῆς σχολῆς καὶ πάντων τῶν μαθητῶν εἰς ταὐτὸ συνιόντων, ἔτι δὲ συμπαρόντων καὶ τῶν ὅσοι τῶν πανιερωτάτων ἀρχιερέων καὶ εὐγενεστάτων ἀρχόντων βούλοιντο, πρὸς δὲ καὶ τῶν λοιπῶν διδασκάλων ἢ καὶ ἄλλων(γ) πεπαιδευμένων ἀνδρῶν, γίγνοιτο ἡ ἐκλογὴ τόν δε τὸν τρόπον. Ὅσοι τῶν φοιτητῶν ἐνδεεῖς μὲν ἄλλως καὶ πόρου ἄμοιροι, παιδείας δὲ ὄντες ἐρασταί, δι' ἐνόρκου ὁμολογίας ὑπισχνοῖντο δεκαετίαν ὅλην ἐν τῇ σχολῇ ἐπιμεῖναι, οὐδαμοῦ παρεκκλίνοντες ἢ ἀλλοθέν ποθεν πόρον βίου θηρώμενοι, οὐ διδασκαλίαν, οὐ μουσικήν, οὐκ ἐφημερίαν, οὔκουν διακονίαν, οὔτ' ἄλλο τι ὅλως ἐπιτήδευμα μετερχόμενοι, μόνῃ δὲ τῇ παιδείᾳ καὶ μελέτῃ συζῶντες, ἐκ τούτων ἤδη ὅσοι περ ἂν δοκιμαζόμενοι εἰς ἐξήγησιν βίβλου τινὸς τυχαίως προβαλλομένης, οὐ παρὰ χορδὴν κρούοντες, εὑρεθεῖεν ἀναφαίνοιντο, οἱ τοιοῦτοι πάντες εἰς τὸν τοῦ μισθοῦ καὶ τῆς τραπέζης κατάλογον καταγραφέσθων. Εἰ δέ που τυχὸν πρὸ τῆς διορισθείσης δεκαετίας ἀσθενείᾳ δεινῇ ἢ ἀμελείᾳ ἢ φαυλότητι ἄλλως καὶ βίου διαστροφῇ περιπεσόντας τινὰς τοῦ καταλόγου δέοι ἐξαλειφθῆναι, οἱ μὲν τοιοῦτοι ἀπεληλάσθων, ἀντὶ δ' ἐκείνων ἄλλοι ἐπεισερχόμενοι ψήφῳ κοινῇ ἐγκαταγραφέσθωσαν. Ἄριστον μὲν τ' ἂν εἴη, εἴ ποθ' ὁ παναγιώτατος οἰκουμενικὸς πατριάρχης μετὰ τῆς ἱερᾶς συνόδου τῶν ἐν τῇ βασιλευούσῃ ἐνδημούντων ἀρχιερέων ἦτοι ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ἢ ἀλλαχόθι, ὅπη ποτ' ἂν δόξῃ, συνερχόμενοι, καὶ τὴν περὶ τοῦ ποιμνίου ἣν ἀεὶ καταβάλλουσι φροντίδα οὐκ εἰς φαῦλόν τι ἀλλ' εἰς τὸ καιριώτατον, ὡς οἰόμεθα, κἀνταῦθα ἀναδεικνύντες, διὰ τῆς ἱερᾶς αὐτῶν ἀξιωματικῆς καὶ σεμνοπρεποῦς παρουσίας, τοὺς μὲν εὐδοκίμους τῶν μαθητῶν εἰς πλεῖω ζῆλον καὶ φιλοτιμίαν παραθήγοντες παροτρύνοιεν, τοῖς δὲ ῥαθυμοτέροις καὶ χαυνοτέροις αἰδῶ τε ἅμα καὶ φόβον, ἀπειλουμένης καὶ μισθοῦ στερήσεως, περιποιεῖεν. Εἰ δ' ἴσως τις τὰ τοιαῦτα ὡς περιττά πως δοκοῦντα καὶ περιεργότερα πολλαχῶς ἡμῖν ἐγκαλεῖν ἐπιχειροίη, ἴστω παρὰ πολὺ τοῦ δέοντος ἁμαρτάνειν· πολλαχοῦ γὰρ τὰ τοιαῦτα ἐν δέοντι γίγνεσθαι εἴωθε, καὶ ἀείποτε καὶ παρὰ πᾶσιν οἱ μισθοὶ τῶν πονούντων, ὥσπερ καὶ τῶν ἀθλούντων οἱ στέφανοι. Ἄλλως γὰρ ἂν οὐτ' ἐπωφελῶς καὶ εὐλόγως ὁ μισθὸς παρέχοιτο, οὐδ' ἂν λέγοιτο δίκαιος μισθός, ἀλλὰ χάρις καὶ δωρεά, πόρου λόγῳ προῖκα παρεχομένη, οὔ τί ματαιώτερον; εἶτ' ἄλλος ἄν τις ὑπέκρουσε τῶν μισοκάλων καὶ τ' ἀγαθὰ διαστρέφειν προαιρουμένων, ἄλλ' ἅττα δεινότερα προτιθείς, οἷον καινά τινα καὶ νεώτερα ταῦτα καὶ ἁρμὰς λόγων ποικίλων παρέχοντα, μή ποτε δὲ καὶ τοῖς κρατοῦσιν ἀηδῆ τὰ τοιαῦτα καὶ ἀπαρέσκοντα· ἀλλὰ καὶ οὗτοι ὡς πορρωτάτω τοῦ κέντρου βάλλουσιν. Εὐμενέστατοι γὰρ καὶ δικαιώτατοι ὄντες οἱ αὐθένται ἡμῶν, οὐχ ὅπως οὐδόλως μέμψονται, ἀλλὰ καὶ ἐπαινέσουσι μᾶλλον, ὅτι πρὸς ἀρετὴν καὶ παιδείαν τὸ ὑπήκοον γυμναζόμενον, σωφρονέστερον καὶ τιμιώτερον πάντως καθίσταται, ὅσῳ πλεῖον λόγου καὶ παιδείας μετέχοντες, τοσοῦτῳ μᾶλλον πιστοὶ καὶ εὐγνώμονες δοῦλοι τοῖς αὐθένταις ἀναδεικνύμενοι. Τί δ' οὐκ ἀνεκτέοι, ὡς περὶ τὰς μητροπόλεις καὶ ἐκκλησίας καὶ τοιαύτας ὑπουργίας, οὕτω καὶ τῇ περὶ τὰ σχολεῖα ἐπιμελείᾳ καταγινόμενοι; Ἄλλως τε, τίς ποτ' ἂν οὕτως εἴη πονηρὸς καὶ μισόκαλος, ὥσθ' οὕτως ἀποτόμως τολμῆσαι ἅπαν τὸ γένος διαβαλεῖν, ὅπου γε ἥ τε ἁγία μεγάλη ἐκκλησία καὶ πάντες οἱ τοῦ γένους προϊστάμενοι τὴν ἀλήθειαν ἐν καθαρότητι λέγοντες, ὡς ἐν πᾶσι τοῖς τῷ γένει συμφέρουσι, κἂν τούτῳ τὴν συνήθη εὐμένειαν καὶ οἶκτον ἐξαιτούμενοι οὐκ ἂν ἀποτύχοιεν; Ἡμεῖς δὲ καὶ τοὐναντίον ἅπαν ὧν οἱ ἐπιχαιρέκακοι οὗτοι ὀνειροπολοῦντες ἂν πλάττοιεν, ἡγούμεθα, οὐκ ἀπίθανον ἀμέλει τοι καὶ διὰ νομικοῦ χοτζετίου καὶ ἐπὶ τούτῳ ὑψηλοῦ βασιλικοῦ ὁρισμοῦ δυνατὸν τοῦτ' αὐτὸ συστῆσαι καὶ ἐμπεδώσασθαι, ὡς Θεοῦ συναντιλαμβανομένου ἔσται καταφανές. Ἐπεὶ δὲ τὰ ἐκ τοῦ ἡμίσεως πόρου τοῦ Χοταρνιτζενίου λογιζομένοις ἱκανά τινα χρήματα ἐπιγενησόμενα φαίνεται περιττεύειν, ἐκ τούτων δὴ ἐν τῇ προθεσμίᾳ ἢ προστεθήσονται κατὰ μικρὸν ἀνὰ εἴκοσιν ἢ τριάκοντα γρόσια οἱ μισθοὶ τῶν ἐπιδοσιν οὐ φαύλην τινὰ περὶ τὰ μαθήματα ἐνδειξαμένων, ἢ καὶ τὰ τῆς τραπέζης αὐτῶν ἐπὶ τὸ δαψιλέστερον προχωρήσει, ἢ καὶ ἄλλοι τινὲς τῶν ἐνδεῶν καὶ ἀπόρων πρὸς τοῖς δυοκαίδεκα εἰς τὸν κατάλογον προσγραφήσονται. Ἀλλ' ἡ περὶ τούτων ἰδιαιτέρα διευθέτησις καὶ διάσκεψις, ὅπως ἂν δόξοι κοινῇ τοῖς τὴν προστασίαν ἀναδεξαμένοις ἐφεῖται. Ἐπὶ τούτοις οὖν θερμῶς ἀξιοῦμεν ὑμᾶς, παναγιώτατοι καὶ σεβασμιώτατοι πατέρες, οἵ τε λοιποὶ ἀγαπητοὶ ἀδελφοὶ καὶ φίλτατα τέκνα, ὅπως ἕκαστος ὑμῶν, πρὸς αὐτοῦ τοῦ φωταυγοῦς πνεύματος τῆς ἀρρήτου σοφίας καὶ συνέσεως, ἥτις τὸ ἀνθρώπινον γένος λόγῳ καὶ παιδείᾳ διενηνοχὸς ἁπάντων προέχειν ηὐδόκησεν, εὖ μάλα εἰδότες καὶ τὸ ἀπαραίτητον χρέος τῆς εἴτε ποιμαντικῆς προστασίας, εἴτ' ὀφειλομένης φιλανθρωπίας τε καὶ φιλαδελφίας, δι' ὃ λόγον ὑφέξομεν ἅπαντες, ἵνα μή ποτε τοῦ μικροῦ μὲν τούτου, μάλιστα δ' ἐπωφελοῦς, ἀμελήσαντες, ἀνωφελὲς καὶ ἀνήνυτον ἀπεργάσησθε, ἀλλ' εἰ σμικρὰ καὶ ἀτελῆ τὰ ἡμέτερα, τῇ προσθήκῃ καὶ ἀκριβείᾳ τὸ ἐλλεῖπον ἀναπληρώσητε, ὡς πεπείσμεθα, μηδὲ παρορῶντες ἢ ἀνατρέποντες ἀφανίσητε, μᾶλλον δὲ τῇ κοινῇ προστασίᾳ καλῶς διατάττοντες καὶ ἄλλους ἀλλοθεν πόρους εἰς αὔξησιν τῶν τοιούτων ἐπινοῆτε· τοὺς δ' ἄλλως φρονοῦντας ἢ ὀπωσοῦν ἀμελοῦντας καὶ ἀνατρέπειν ἐπιχειροῦντας, ὁ ἐτάζων καρδίας καὶ νεφροὺς, ἐπὶ μόνῃ τῇ κοινῇ ὠφελείᾳ οὕτω ταῦτα παρ' ἡμῶν τετάχθαι γινώσκων, λόγον ἀπαιτήσει πάντως περὶ τῶν τοιούτων πλημμελημάτων αὐτῶν. Γινώσκοντες δὲ ἀκριβῶς ὡς ἅπαν δὴ τοῦτο τὸ ἔργον τῆς ἀγαθῆς γνώμης καὶ συνέσεως τῶν τῆς Μολδαβίας ἡγεμόνων ἐξήρτηται, ἧς ἄνευ ὀρθῶς εὐοδοῦσθαι ἀμήχανον, ἀξιοῦμεν ἅπαντας ἀδελφικῶς καὶ θερμῶς, οὕσπερ ἂν ἡ θεία πρόνοια εἰς ἅπαν τοὐπιὸν καταστήσασθαι εὐδοκήσῃ, ὡς ἂν ὑπὸ κριταῖς, τῷ αὐτῶν συνειδότι καὶ τῷ δικαίῳ τὰ ἐφεξῆς ἀκριβῶς διασκεψάμενοι θεωρήσωσι. Πρῶτον, ἡμεῖς πολλοὺς καὶ μεγάλους ὑποστάντες ἀγῶνας καὶ πολλὰ παθόντες ὑπὲρ τῆς συστάσεως καὶ συντηρήσεως τῆδε τῆς τζάρας (δ) οὐ μόνον ἑαυτοὺς καὶ τὸν οἶκον καὶ πάντα τὰ καθ' ἡμᾶς ἐν δευτέρῳ θέμενοι, χρημάτων ὀλιγωρήσαμεν, ἀλλὰ καὶ τὴν ὑγίειαν καὶ αὐτὴν ἡμῶν τὴν ζωὴν ἐν μέσῳ προθέμενοι ὑπὲρ τῶν κοινῶν οὐχ ὡς μισθωτοὶ, οὐδ' ὡς ἐφήμεροι, διῳκήσαμεν, ἀλλ' οἴκου τε καὶ φιλτάτων καὶ πάντων τῶν καθ' ἡμᾶς τὰ κοινὰ προτιμήσαντες, ζήλῳ πατρικῷ καὶ εἰλικρινείᾳ ἑκατοστύας ὅλας χιλιάδων ὑπὲρ τῆς κοινῆς συστάσεως καὶ ὠφελείας παρειδομεν· ὅσα δὲ καὶ προσεδαπανήσαμεν, οὐδὲ χρὴ λέγειν, ἵνα μὴ περιττολογεῖν δοκοῦντες μακρηγορῶμεν. Δεύτερον, καὶ τοῦτο δ' ἔτι οὐκ ἔχομεν σιωπᾶν, ὅτι καὶ ἐπὶ μοναστηριακῶν ὑποθέσεων καὶ πασῶν ἄλλων τῶν ἐν ταύτῃ τῇ τζάρᾳ, ὡς φιλόστοργοι υἱοὶ καὶ διάδοχοι πάντων τῶν πρὸ ἡμῶν ἡγεμόνων, ἄκρᾳ εὐλαβείᾳ τιμῶντες τὰ ἐκείνοις διατεταγμένα οὐδαμοῦ αὐτῶν παρετράπημεν, ἀλλ' ὅσα πρὸς σύστασιν καὶ διαμονὴν τῶν εἰς μνημόσυνον αὐτῶν γενομένων πάντα ἀποδεξάμενοι, οὐ μόνον λόγοις καὶ προστασίᾳ, ἀλλὰ καὶ βοηθείᾳ χρηματικῇ συνεστήσαμεν. Τρίτον, ἔξὸν καὶ ἡμῖν ἐκ τῶν κοινῶν, οἷον ὀκνῶν (ε) καὶ βαμμάτων καὶ ἄλλων, διὰ χρυσοβούλλων χαρίζεσθαι (ϑ καὶ μᾶλλον εἴχομεν εἰπεῖν δικαιότερον, ὅτι καὶ ἐπὶ τῇ αὐξήσει τῶν δικαίων τούτων προσόδων πόνοις ἰδίοις οὐ σμικρόν τι συνεισηνέγκαμεν), ἀλλ' οὐδὲ ἐν τούτοις τῇ ἐξουσίᾳ κατεχρησάμεθα, οὐδ' ἐκ τῶν ἀλλοτρίων πόρων φιλοτιμήσασθαι ἔγνωμεν, ἐξ ἰδίων ταῦτα χρημάτων ἀφιερώσαντες. Τέταρτον δέ, οὐκ ἀ-

(γ) Ἐν τῷ κώδικι τῆς σχολῆς γέγραπται "ἄλλως,,.

(γ) = χώρας.
(δ) ὄκνα = ἀλατωρυχεῖον.

μνημονητέον καὶ μάλα, ὡς ὅλον δὴ τοῦτο τὸ Χοταρνιτζένιον, τὸ μυρίων ἄλλοτε κακῶν τῇ τζάρᾳ γενόμενον πρόξενον, πολλοῖς ἱδρῶσι καὶ πόνοις ἡμεῖς εἰς τοῦτο, ὃ νῦν ὁρᾶται, ἠγάγομεν, ὥστε ἀσφάλειαν εἶναι μεγίστην καὶ ἀφοβίαν τῶν ἐπεμβαινόντων τε καὶ καταχρωμένων, πρὸς δὲ καὶ πόροι ἐκ τῶν βασμῶν τοῖς ἡγεμόσι προσγίγνεσθαι. Πέμπτον καὶ τελευταῖον, ὑπομνηστέον ὡς οὐ μόνον ἐπὶ τῶν ἀναγκαίων, ἀδιαφεύκτων καὶ ἀπαραιτήτων μεγάλην τινὰ ποσότητα χρημάτων ἐξ ἰδίων κατεβάλομεν, ἀλλὰ καὶ ἐν αὐτοῖς ἔτι τοῖς πρὸς εὐκοσμίαν τῆς πόλεως καὶ εὐζωΐαν τῶν ἡγεμόνων, μέχρι καὶ αὐτῶν τῶν εἰς ἀναψυχήν τινα καὶ εὐθυμίαν συμβαλλομένων, χρημάτων οὐκ ἐφεισάμεθα. Ὁμέ ποτε δέ τις τῶν ἡγεμόνων τυχὸν τοὺς τῶν ἱερέων βασμοὺς τοὺς ἐκ τῆς ἀζουτορίντζας προσθεὶς ζημίαν ἐγκαλοίη, ταλαντευέτω τῇ διανοίᾳ καὶ εὐμενείᾳ ὁ ἀδελφὸς ὡς οὔτε μέγα τι καὶ ὀγκῶδες ἢ πολλοῦ ἄξιον καὶ ἀηδὲς τοῦτὶ τὸ βραχὺ καὶ ἀνόσιον, ἄλλως τε διὰ τοσούτων ἐκτενῶν καὶ ἀκαταπαύστων εὐχῶν τῶν ὑπὲρ τῶν ἡγεμόνων καὶ τοῦ λαοῦ εὐχομένων ἱερέων, ἄλλοθεν ἡμεῖς τήν τε τζάραν συστήσαντες καὶ πολλαχῶς ἐν εὐπραγίᾳ καὶ εὐταξίᾳ κοσμήσαντες, οὐ μικρὸν συμβαλέσθαι ἡγούμεθα εἰς μυριοπλασίονα τῶν διαδεξομένων ὠφέλειαν. Ταῦτ' οὖν ἅπαντα ὀρθῶς διανοουμένους, ἐπὶ πᾶσι δὲ καὶ πρὸ πάντων τὸ ἀπαραιτήτως ὀφειλόμενον τῷ γένει χρέος ἀναπολοῦντας, θερμῶς ἀξιοῦμεν τοὺς ἀδελφοὺς ἡγεμόνας ἅπαντας τοὺς μετέπειτα ἐφεξῆς ὅπως, ᾗ δίκαιον καὶ εὔλογον καὶ θεάρεστον, καὶ ὥσπερ τῶν λοιπῶν εἴτε μοναστηριακῶν εἴτ' οὖν ἀρχοντικῶν κτημάτων, οὐδὲν ἀφελέσθαι δύνανται, εἰ μὴ μέλλοιεν ἀδίκως, παρὰ νόμον τε καὶ ἀνοσίως (ὃ μὴ γένοιτο) τἀλλότρια διαρπάζειν, οὕτω τοι καὶ τὸ ἡμέτερον τοῦτο, τὸ κοινῇ πρὸς τὸ γένος ἀφορῶν, τήν τ' ἐν βασιλευούσῃ φαμὲν σχολὴν καὶ τὸ ὑπὲρ τῶν τιμιωτέρων ἀσθενῶν νοσοκομεῖον, ἀνάθημα οὐ μόνον μὴ ἀνατρέπειν ἢ διασείειν πειρῶνται, ἀλλὰ τῇ ἡγεμονικῇ αὐτῶν δυνάμει καὶ ἐξουσίᾳ κρατύνειν τε καὶ συνιστᾶν καὶ πανταχόθεν ὑπερασπίζεσθαι προθυμῶνται. Ταῦτα δὴ ταῦτα καὶ παρὰ τοῦ εὐαγοῦς τῶν ἀρχόντων συστήματος ἐπὶ βεβαίαις ἐλπίσιν ἀπεκδεχόμεθα· καὶ γὰρ ἡ πατρικὴ πρὸς πάντας ἡμῶν διάθεσις ἐκ βάθους ψυχῆς ἀναφυεῖσα καὶ πολλαχῶς ἐν καθαρότητι καὶ εἰλικρινείᾳ ἐπαυξηθεῖσα, εἰς φύσιν ἀποκατέστη, ἐν ᾗ καὶ ὡς ἐν καθαρῷ κατόπτρῳ ἐναργῶς ἡμῖν καὶ βεβαίῳ παρίσταται τὸ προσφιλέστατον ἡμῖν καὶ εὐγενὲς τοῦτο σύστημα τῶν ἡμετέρων ἀρχόντων, μᾶλλον δὲ τέκνων φιλτάτων ἡμῖν, τὴν ἥνπερ ἀπαρχῆς ἐς τόδε πρὸς ἡμᾶς ἐνεδείξαντο πίστιν, ἀγάπην τε καὶ εὐλάβειαν, ἐν πᾶσιν ὅσα κοινωφελῆ ἐκτελέσασθαι ἠγωνίσθημεν, οὐ μόνον αὐτοὶ περιόντες, ἀπαράτρεπτον διασώζοντες, ἀλλὰ καὶ οἱ τούτων ἀπόγονοι, κατ' ἴχνους πατέρων βαίνοντες φιλοτιμηθησόμενοι ὡσαύτως, ἐπιμεληθησόμενοί τε καὶ ὑπερφρονοῦντες. Ἔθους δὲ ὄντος τοῖς χρυσοβούλλοις καὶ τὰ τῶν υἱέων ἐγκαταγράφειν ὀνόματα, ἡμεῖς ἐνταῦθα οὐκ ἔθος μόνον ἀφοσιούμενοι, ἀλλὰ καὶ ἐντολὰς πατρικὰς διαταττόμενοι, ταῦτα ὑποσυνάπτομεν· ἀνατροπὴν μὲν οὖν ἢ ἀμέλειαν ἐπὶ τοῖς φιλτάτοις ὑπονοεῖν μηδέποτε ἡμῖν γένοιτο, τοιαῦτα περὶ τῶν οἰκείων μαντευομένοις κακά· μάλιστα δὲ καὶ τοῖς ἐξ υἱέων ἡμῶν ἀπογόνοις ἅπασιν ὑπὸ πατρικῇ ἀρᾷ ἐντελλόμεθα ἵνα ἕκαστος τούτων, ὁποιασδηποτοῦν τάξεως τύχῃ ὤν, εἰ δυνατὸν καὶ πλείω, ἀδιαφεύκτως δ' οὖν ἑκατὸν γρόσια κατ' ἔτους ὀφείλῃ διδόναι τῇ βηθείσῃ σχολῇ, ὡς χρέος ἄφυκτον δὴ τοῦτο καὶ ἀπαραίτητον. Ἵνα δὲ μή τις αὐτῶν δυσχερείᾳ τινί, οἷα τὰ τοῦ βίου, περιπεσὼν (ὃ μὴ γένοιτο) ἔνοχος τῇ ἀρᾷ ἐπιμένῃ, προνοείσθω ἕκαστος ἅμα τῷ δύνασθαι δύο πουγγία τῶν ἄσπρων δανεῖσαί τινι τῶν μητροπόλεων ἢ ἐκκλησιῶν, ὡς ἂν ἐξ ἐκείνων ἔχοι τὰ πρὸς αὔξησιν τοῦ τῶν μαθητῶν μισθοῦ ποριζόμενος ἐρανίζεσθαι· ὅσοι δὲ τῶν υἱέων ἢ ἀπογόνων ἡμῶν θείᾳ εὐδοκίᾳ καὶ ἐλέει τῆς κραταιᾶς βασιλείας βαθμοῦ ἡγεμονίας ἀξιωθῶσιν, ἀδιαφεύκτως τούτων ἕκαστος ὀφειλέτωσαν πεντακόσια γρόσια πόρον ἐτήσιον τῇ σχολῇ ἀσφαλῆ τε καὶ βέβαιον ἐξ ἰδίων χρημάτων συντελεῖντε καὶ συνεισφέρειν. Ἐπὶ τούτοις οὖν καὶ τὰ ὀνόματα αὐτῶν καταγράφεται, ἵνα ὁ μὲν φίλτατος Ἀλέξανδρος τὸν ἀοίδιμον ἐκεῖνον καὶ σοφώτατον ἄνδρα τὸν πρόπαππον Ἀλέξανδρον τῶν ἐξ ἀπορρήτων ζηλῶν, τήν τε δόξαν καὶ ἀξίαν ἐκείνου, οὐ τύχης ἢ γένους ἢ πλούτου, ἀλλὰ μόνης τῆς παιδείας καὶ ἀρετῆς ἆθλα εἰδώς, αὐτός τε τοῖς κατὰ τὴν παιδείαν φιλοτιμῆται, φιλέλλην τε καὶ φιλόμουσος ὢν καὶ ἀναδεικνύμενος, καὶ τῶν φιλομούσων προστάτης, καὶ κηδεμὼν τῶν φροντιστηρίων ἀναφανῇ. Ὁ δὲ φίλτατος Δημήτριος τὸ τοῦ ἀειμνήστου πάππου, τοῦ φιλοστόργου ἡμῶν πατρός, φιλομαθὲς ζηλοῖ καὶ φιλόμουσον, ὅστις οὐ μόνον περὶ τὴν τῶν οἰκείων παιδείαν τὸν ζῆλον διακαῆ καὶ θερμότατον ἀνεδείξατο, ἀλλ' οὔτε πόρων μεγάλων διαρκείᾳ ἢ περιττῶν χρημάτων περιουσίᾳ κομῶν, καὶ οὕτως ἔμπης ἐξ ἰδίων τῇ τοῦ Ὄρους σχολῇ ἀναθέμενος ἐφιλοτιμήσατο, ἄλλως τε τοὺς ἐπιστήμονας περιθάλπων, ὅση δύναμις, καὶ ἀντιλαμβανόμενος οὐ διέλειπε. Καὶ ὁ φίλτατος Γεώργιος ἡσυχώτερον τῇ τῶν λόγων διατριβῇ καὶ μελέτῃ σχολάζων, οἷα μηδέπω ἔτι τοῖς πολιτικοῖς περισπώμενος, καὶ τῆς ἑλληνίδος ὢν ζηλωτής, αὐτός τε ἀκριβὴς καὶ καθαρὸς Ἕλλην μοι γέγηται καὶ τῇ ἰδίᾳ ἔτι ἀρετῇ καὶ ἀτρύτῳ φιλοπονίᾳ τῷ αὐτῷ (στ) ὑπὲρ τοῦ κοινοῦ ζήλῳ οὐχ ἧττον τῷ ὀνόματι τούτῳ διαπρέψῃ, ἀνὴρ κοινωφελὴς εἰς πάντα τὰ καλὰ κἀγαθὰ ἀναδειχθησόμενος, ἂν οὕτωσὶ μὴ κατ' ἔθος, ἀνωφελῆ τε καὶ ἄκαρπα ἐπὶ κενῷ τύφῳ τὰ ὀνόματα γεγράφθαι ἀποδειχθῇ, Θεοῦ συναντιλαμβανομένου, ταῖς ἡμετέραις εὐχαῖς. Ταῦτα ἡμῖν ἀποφηναμένοις ἀπολέλυται τὸ παρὸν ἡμέτερον αὐθεντικὸν χρυσόβουλλον, ἐκδοθὲν ἐπιβεβαιώσει ἡμετέρᾳ καὶ παρουσίᾳ τῶν ἐκλαμπροτάτων φιλτάτων ἡμῖν μπεγζαδέδων Ἀλεξάνδρου βοεβόνδα, Δημητρίου βοεβόνδα, Γεωργίου βοεβόνδα, καὶ τῶν περὶ ἡμᾶς εὐγενεστάτων συγκλητικῶν ἀρχόντων: ἀρχοντος μεγάλου λογοθέτου Ἰωάννου Κατακουζηνοῦ, ἀρχόντων μεγάλων βορνίκων Στεφάνου Στούρζα, Νικολάου Ῥωσσέτου, Ἰωαννίτζα Κατακουζηνοῦ ἄγα, Λασκαράκη Ῥωσσέτου μεγάλου βορνίκου, Γεωργίου Στούρζα μεγάλου βορνίκου, Σκαρλατάκη Στούρζα χατμάνου, Γεωργάκη μεγάλου ποστελνίκου, Ἰωαννάκη Κατακουζηνοῦ μεγάλου βεστιάρη, Νικολάου Χατζερῆ μεγάλου σπαθάρη, Κωνσταντίνου Μπάλσα μπάνου, Σανδουλάκη Στούρζα μεγάλου κομίσου, Θωμᾶ μεγάλου καμαράση, Σερμπάνου Πούχουση παχαρνίκου, Γεωργάκη Μπάλσα καμινάρη, Κωνσταντίνου Κατακουζηνοῦ σερδάρη, Στεφάνου Μπάσωτα στολνίκου. Ἐν ἔτει σωτηρίῳ ᾳψπβ', πέμπτῳ τῆς ἐν Μολδαβίᾳ ἡμετέρας ἡγεμονίας, ἐν τῇ αὐθεντικῇ ἡμῶν καθέδρᾳ, ἤτοι ἐν Ἰασίῳ.

† Ὁ Δέρκων Ἀνανίας βεβαιοῖ ἴσον εἶναι.

(στ) Ἐν τῷ κώδικι φέρεται "σαυτῷ,,.

Η ΠΕΡΙ ΤΟΥ ΜΟΝΑΣΤΗΡΙΑΚΟΥ ΖΗΤΗΜΑΤΟΣ ΕΝ ΤΗι ΡΩΜΟΥΝΙΚΗι ΒΟΥΛΗι ΣΥΖΗΤΗΣΙΣ

Ὑπὸ Μ. Δ. Χ.

Ἐν τῇ Ρωμουνικῇ βουλῇ, τῇ 26 Ἰανουαρίου ἐ. ἔ. ἀντηλλάγησαν παρατηρήσεις τινὲς ἀφορῶσαι τὸ ἐκκρεμὲς μοναστηριακὸν ζήτημα καὶ τὴν πρό τινος ὑπὸ τῶν ρωμουνικῶν βουλῶν ἐπιψηφισθεῖσαν πίστωσιν 60,000 φράγκων ὑπὲρ τῶν ἐν Ἀνατολῇ ἁγίων ἐκκλησιῶν. Ἐπειδὴ ἀνακριβῶς ἐξετέθησαν τὰ γεγονότα καὶ ἡμαρτημένως εἰκονίσθη ἡ θέσις τῶν πραγμάτων ὑπὸ τῶν ὁμιλησάντων ἐπὶ τοῦ θέματος τούτου ἐν τῇ διαληφθείσῃ συνεδριάσει τῆς ρωμουνικῆς βουλῆς, ὀφείλοντες ἵνα ἐπανορθώσωμεν τὰ ἠ-

μαρτημένως ἐκτεθέντα καὶ ἀνακριβῶς λεχθέντα, ἀναγκαῖον ἡγούμεθα παραθέσαι ἀπόσπασμα τῶν πρακτικῶν τῆς συνεδριάσεως ταύτης, ἵνα οἱ ἀναγνῶσται ἡμῶν ὦσιν ἐν γνώσει τῶν ἀνασκευαζομένων ὑπὸ τῆς Ἀληθείας.

Τὸ διαληφθὲν ἀπόσπασμα τῶν πρακτικῶν κατὰ τὴν ἐκ τοῦ ρωμουνικοῦ μετάφρασιν ἔχει ὧδε:

Οὐρέκιας. — Κύριοι βουλευταί, ὀλίγα ἔχω νὰ προσθέσω εἰς τοὺς λόγους, δι' ὧν ἀνήγγειλα πρὸς τὸν κ. ἐπὶ τῶν ἐξωτερικῶν ὑπουργὸν τὴν ταπεινὴν ἐπερώτησίν μου.

Θὰ ἠδυνάμην πρὸ παντὸς ἄλλου νὰ ἐξηγηθῶ, νὰ δικαιολογήσω ἐμαυτόν· διὸ ἐπροτίμησα τὸν κ. ἐπὶ τῶν ἐξωτερικῶν ὑπουργὸν ὅπως τῷ ἀπευθύνω τὴν ἐπερώτησίν μου ταύτην, καὶ οὐχὶ τὸν ἐπὶ τῶν ἐκκλησιαστικῶν, προκειμένου περὶ καλογήρων. Ἔγγραφά τινα ὅμως τοῦ ἐπὶ τῶν ἐξωτερικῶν ὑπουργείου (ὧν ἔλαβον γνῶσιν ἐκ τῶν ξένων ἐφημερίδων καὶ ἐκ ποικιλόχρου τινος βίβλου, ἧς κάλλιον εἰπεῖν ἀγνοῶ τὸ χρῶμα, νέας τινὸς δυνάμεως εἰσέτι ἀγνώστου ἐν τῇ πολιτικῇ γεωγραφίᾳ τῆς Εὐρώπης) μὲ ἠνάγκασαν ν' ἀπευθύνω τὴν ἐπερώτησίν μου πρὸς τὸν ἐπὶ τῶν ἐξωτερικῶν ὑπουργόν. Ἡ ἐφετεινὴ Πρασίνη βίβλος, τὸ φλύαρον τοῦτο γραΐδιον, ὅπερ λέγει ἐκεῖνο τὸ ὁποῖον πάντες γινώσκουσι, καὶ ἀποσιωπᾷ ἐκεῖνα τὰ ὁποῖα ἡμεῖς ἐπιθυμοῦμεν νὰ μάθωμεν, περιέχει πολυάριθμα ἐξ ἁπάσης τῆς ὑφηλίου ἔγγραφα περὶ τῆς ἀναγνωρίσεως τῆς νέας τῶν πραγμάτων καταστάσεως, ἐν τούτοις μόνον ἐν τῇ ἑτέρᾳ ποικιλόχρῳ γραικικῇ βίβλῳ εὑρίσκομεν ἔγγραφον διακηρῦττον ἐπίσης τὴν ἀναγνώρισιν τῆς νέας ἐν Ρωμουνίᾳ καταστάσεως.

Τὸ ἔγγραφον ἐκεῖνο δι' οὗτινος τὴν μὴ καταχώρισιν ἐν τῇ Πρασίνῃ βίβλῳ δὲν θὰ κηρύξω ὁριστικῶς πόλεμον κατὰ τοῦ κ. ἐπὶ τῶν ἐξωτερικῶν ὑπουργοῦ, ἐστὶν ὑπογεγραμμένον ὑπὸ τεσσάρων ἱεραρχῶν, οὓς ἐὰν ἤμην ἐν τῇ Ἑσπερίᾳ θ' ἀπεκάλουν τέσσαρας πρίγκηπας τῆς Ἀνατολικῆς Ἐκκλησίας, ἤτοι τῶν παναγιωτάτων Ἰωακεὶμ Κωνσταντινουπόλεως, Σωφρονίου πάπα Ἀλεξανδρείας, Ἱεροθέου Ἱεροσολύμων καὶ Παϊσίου ἀρχιεπισκόπου Σινᾶ. Οἱ παναγιώτατοι οὗτοι μόλις τὴν 27 ἰουλίου 1879 ἔκριναν κατάλληλον τὴν στιγμὴν ὅπως συγχαρῶσι τῷ ἡγεμόνι τῆς Ρωμουνίας διὰ τὴν νέαν τῶν πραγμάτων κατάστασιν, τὴν ἀνεξαρτησίαν τῆς χώρας.

«Ἡ θεία πρόνοια — λέγουσιν — ἥτις τῷ πανισχύρῳ αὐτῆς βραχίονι ἔσωσε τὸ θεοσεβὲς ρωμουνικὸν ἔθνος ἐκ τῆς τελευταίας δοκιμασίας, ὕψωσεν αὐτὸ ἐνδόξως εἰς τὴν θέσιν, εἰς ἣν ἐδικαιοῦτο, ἐξασφαλίσασα αὐτῷ μέλλον λαμπρὸν ἐν τῇ ὁδῷ τῆς προόδου καὶ τοῦ πολιτισμοῦ».

Κύριοι, ἡ εὐχὴ αὕτη γενομένη ὑπὸ τῆς μητρὸς Ἐκκλησίας θὰ ἠδύνατο ἀναμφρίστως νὰ ᾖ εὐμενῶς ἀποδεκτὴ καὶ ἐν αὐτῇ ἔτι τῇ Πρασίνῃ βίβλῳ, ἢ τοὐλάχιστον ἐν τῷ Μηνύτορι πλησίον τόσων ἄλλων εὐχῶν, αἵτινες δὲν ἔλειψαν, οὐδὲ θὰ λείψωσιν ἐπὶ πολὺ εἰσέτι, ὑπὲρ τῆς ἀναγεννωμένης Ρωμουνίας. Ἀμέσως ὅμως ἡ ὡραία αὕτη εὐχὴ συνοδεύεται (Tantae in animis cælestibus) ὑπὸ δευτέρου μέρους, ὅπερ τῇ ἔβλαψεν ἅπαν τὸ ἀποτέλεσμα τὸ ὁποῖον παρήγαγεν ἡ ἐπὶ τῆς σκηνῆς ἀναβίβασις. Τὸ δεύτερον τοῦτο μέρος λέγει, «Μετὰ τὰς εὐχὰς ταύτας ἡ Ἀνατολικὴ Ἐκκλησία θὰ ἠμέλει ἱερὸν αὐτῆς καθῆκον μὴ ἐπισύρουσα τὴν εὐμενῆ προσοχὴν τῆς Γ. Ὑψ. ἐπὶ τῆς ἀνωμάλου καταστάσεως τῶν μεταξὺ τοῦ ρωμουνικοῦ λαοῦ καὶ τῶν ἁγίων τόπων σχέσεων». Τὸ δὲ λοιπὸν γέμει παραπόνων καὶ κατηγοριῶν κατὰ τὴν ἔννοιαν τῶν πρώτων ἐκείνων γραμμῶν.

Ἀκούσατε κύριοι βουλευταί! «Ἡ νέα πολιτικὴ δύναμις» ὁμιλεῖ ἐντόνως περὶ «τῶν μεταξὺ τοῦ ρωμουνικοῦ ἔθνους καὶ τῶν ἁγίων τόπων σχέσεων».

Τὴν ἐπιστολὴν ταύτην οἱ παναγιώτατοι πατέρες εἰδότες, ἄλλως τὰ τοῦ συνταγματικοῦ ἡμῶν πολιτεύματος, σπεύδουσι ν' ἀπευθύνωσι πρὸς τὴν Α. Ὑψηλότητα διὰ τοῦ πρωθυπουργοῦ, τὸν ὁποῖον, ἐν τῇ πρὸς αὐτὸν ἐπιστολῇ ἐξαλείφοντες τὸ θυμίαμα καὶ τὴν σμύρναν τῶν εὐχῶν, προκαταλαμβάνουσι μόνον διὰ τῶν περιεχομένων ἐν τῇ δευτέρᾳ παραγράφῳ τῆς πρὸς τὴν Α. Β. Γ. ἐπιστολῆς·

Δὲν ἤρκει τοῦτο. Ἀμέσως μετὰ ταῦτα, χωρὶς ν' ἀναμείνωσι τὸ ἀποτέλεσμα τῶν δύο τούτων ἀνακοινώσεων, ἀμέσως, λέγω, οἱ παναγιώτατοι πατέρες, οἱ ὑπογράψαντες ἀμφοτέρας τὰς ἐπιστολάς, γνωστοποιοῦσι τὴν εὐρωπαϊκὴν διπλωματίαν urbi et orbi ὅτι ἀπέστειλαν τῇ ρωμουνικῇ κυβερνήσει τοιαῦτα διπλωματικὰ ἔγγραφα.

Ἕως ἐδῶ τὸ πρᾶγμα κάπως συμβιβάζεται, ἀλλ' οἱ παναγιώτατοι πατέρες . . .

Φωναί.—Τί διπλωματία ! !

Οὐρέκιας.—Βεβαίως δὲν εἶνε ἀκόμη διπλωματικὰ ἔγγραφα, ἐπειδὴ μέχρι τοῦδε δὲν ἐδέχθημεν οὐδένα ἀπεσταλμένον τοῦ πατριαρχείου, δι' ὃν νὰ ἐξεδόθη ἐκτελεστήριον, ἀλλὰ τίς οἶδεν ἐλεύσεται ὡσὰν αὔριον, καὶ ἡ ἡμέρα αὕτη, ἐὰν ἐγκαίρως δὲν θέσωμεν φραγμὸν εἰς τὸ εἰσρέον ὕδωρ.

Ἡ ὑπόθεσις ὅμως δὲν σταματᾷ ἐδῶ· ἀλλὰ λησμονοῦντες ἀμέσως ἀγνωμόνως πᾶν ὅ,τι ἀπ' αἰώνων ἡ χώρα αὕτη ἐποίησεν ὑπὲρ τῶν ἁγίων τόπων, λησμονοῦντες ὅτι ὁπότε ἡ Κωνσταντινούπολις δὲν ἦτο πλέον χριστιανική, οἱ θεοσεβεῖς ἡγεμόνες τῆς τε Ρωμουνίας καὶ Μολδαυΐας ἦσαν τὸ κέντρον τῆς βαρύτητος τῆς χριστιανωσύνης· λησμονοῦντες ὅτι πρὶν ἡ Ρωσσία ἀναφανῇ ὡς νέος παράγων εἰς τὰ συμβάντα τῆς Ἀνατολῆς, ὁ εὐεργετικὸς καὶ ἀφιλοκερδὴς ἐκεῖνος παράγων ὑπῆρξε ὁ ρωμουνισμός, ὑπερασπισθεὶς μόνος σχεδὸν τὴν χριστιανωσύνην κατὰ τῆς Τουρκίας, ὅτι διετηρήθησαν νοσοκομεῖα, σχολαὶ καὶ μοναὶ διά τε τῶν χρημάτων καὶ τοῦ αἵματος ἡμῶν· λησμονοῦντες ἅπαντα ταῦτα, ἀμέσως καὶ χωρὶς κἂν ν' ἀναμείνωσιν ἀπάντησιν τῆς ρωμουνικῆς κυβερνήσεως, ἀπευθύνονται οὐ μόνον πρὸς τὰς ξένας δυνάμεις, ἀλλὰ καὶ πρὸς αὐτὸν ἔτι τὸν μονάρχην τῶν Ὀθωμανῶν, ἱκετεύοντες ἐκεῖνον, καθ' οὗ ἄλλοτε ἡ Ρωμουνία ὑπερήσπισεν αὐτούς.

Χάρις εἰς τὰς ξένας δημοσιεύσεις καὶ εἰς πολύτιμον ἐκκλησιαστικὸν περιοδικὸν τὸν Ὀρθόδοξον, κατέχω πλείστας τῶν ἀνταλλαγεισῶν διακοινώσεων μεταξὺ τῶν παναγιωτάτων ἱεραρχῶν καὶ τῆς ὀθωμανικῆς κυβερνήσεως (ἐὰν δύναμαι καλέσαι αὐτὰ οὕτω), ἀλλὰ θεωρῶ περιττὸν νὰ παρατείνω τὴν ἀνάπτυξιν τῆς ἐπερωτήσεως ταύτης μὲ ἔγγραφα, ἅπερ ὁ κ. Βοερέσκος δὲν ἔκρινε δέον νὰ καταχωρισθῶσιν ἐν τῇ Πρασίνῃ αὐτοῦ βίβλῳ. Ἐπιθυμῶ μόνον νὰ σᾶς ποιήσω γνωστὴν τὴν εἰς τὰ ἔγγραφα ταῦτα δοθεῖσαν ἀπάντησιν τῆς ρωμουνικῆς κυβερνήσεως.

Ὁ ὑπουργὸς τῶν ἐξωτερικῶν. «Κύριοι ! Ὅσα ἔγγραφα ἀνέγνω ὁ Κ. Οὐρέκιας, εἶνε ἀληθῆ. Ἀληθὲς ὅτι τῇ 27 ἰουλίου 1879 ἡ Αὐτοῦ Ὑψηλότης ὁ ἡγεμὼν ἔλαβεν ἐπιστολὴν παρὰ τεσσάρων ἱεραρχῶν, ἐν ᾗ μετὰ πολλὰς φιλοφροσύνας καὶ εὐχὰς, κατέληγον ζητοῦντες τακτοποίησιν τοῦ ζητήματος τῶν μοναστηρίων τῶν λεγομένων Προσκυνημένων, τοῦ ὁποίου ἡ λύσις δὲν τοὺς εὐχαρίστησε, συνάμα δὲ ἐξέφραζον καὶ τὴν δυστυχῆ κατάστασιν, ἐν ᾗ εὑρίσκεται ἡ Ἐκκλησία ἐν τῇ Ἀνατολῇ. Κατὰ τὸν νοέμβριον τοῦ 1879 ἡ Αὐτοῦ Ὑψηλότης ἀπήντησεν, ὡς ἀπῄτει ἡ εὐπρέπεια· ὅμως, προσυπογράψαντος καὶ τοῦ ὑπουργοῦ τῶν ἐκκλησιαστικῶν κ. Κρετζουλέσκου. Δι' αὐτῆς τῆς ἐπιστολῆς, ἐν γνώσει τῆς κυβερνήσεως, ἀπήντησεν ἡ Α. Γ. πρὸς τὰς συγχαριτηρίους ἐπευχάς, συγχρόνως δὲ προσέθετο ὅτι τὸ ζήτημα τῶν μοναστηρίων ἐλύθη καθὼς ἀπῄτει τὸ δικαίωμα τοῦ τόπου καὶ ὁ σκοπὸς τῶν ἀριερωτῶν τῶν προικισάντων τὰ μοναστήρια. Ὅσον δὲ διὰ τὴν αἴτησιν, ἥτις ἀπηυθύνθη πρὸς τὸν ἡγεμόνα, ἡ Α. Γ. ὡς ἡγεμὼν συνταγματικός, φυσικῶς τὴν ἐσύστησε πρὸς τὸ ὑπουργεῖον, εἰς ὃ ἀνήκε τὸ νὰ δώσῃ τὴν ἀπάντησιν πρὸς τοὺς ἱεράρχας ἐκείνους. Τί δὲ ἔπραξε τὸ ὑπουργεῖον ; Δὲν ἀπήντησε κατ' εὐθεῖαν πρὸς τοὺς ἁγίους πατέρας, ἀλλὰ διὰ μιᾶς νότας, τὴν ὁποίαν ἐγὼ διηύθυνα κατὰ φεβρουάριον τοῦ

1880 πρὸς τὸν ἐν Κωνσταντινουπόλει ἡμέτερον πρέσβυν, καὶ μεταξὺ ἄλλων τῷ εἶπον καί τι ἀναφορικὸν πρὸς τὴν αἴτησιν ἐκείνην· ἀρκεῖ δὲ νὰ σᾶς ἀναγνώσω μίαν μόνην φράσιν μου διὰ νὰ ἴδητε ἐν ποίᾳ ἐννοίᾳ ἀπήντησα· « ἡμεῖς εἴπομεν ὅτι ἡ ρωμουνικὴ κυβέρνησις θεωρεῖ τὴν ὑπόθεσιν αὐτὴν ὁριστικῶς πεπερατωμένην ». (Χειροκροτήσεις).

Ἡ ἀπόκρισις αὕτη δὲν ἦτο δυνατὸν νὰ δοθῇ παρὰ διὰ μέσου τοῦ ἐν Κωνσταντινουπόλει ἡμετέρου ἀντιπροσώπου, οἱ δὲ ἁγιώτατοι πατέρες δὲν εἶχον παρὰ νὰ ὑπάγωσιν εἰς τὴν ἡμετέραν πρεσβείαν καὶ λάβωσι τὴν ἀπόκρισιν, ἥτις τοῖς ἐνδιέφερε.

Διακοινώσεις δὲ ἀνταλλαγείσας μεταξὺ τῆς ὀθωμανικῆς καὶ τῆς ἡμετέρας κυβερνήσεως ἐγὼ δὲν γνωρίζω· μία μόνη ὑπάρχει διακοίνωσις τοῦ ἐνταῦθα ὀθωμανοῦ πρέσβεως πρὸς τὴν ἡμετέραν κυβέρνησιν ὑποστηρίζουσα τὴν αἴτησιν τῶν ὑψηλῶν ἱεραρχῶν, πρὸς τὴν ὁποίαν δὲν ἔκρινα εὔλογον νὰ ἀπαντήσω, ἐπειδὴ τὴν ἀπάντησιν ἡμῶν ἔδωκα πρὸς τὸν ἐν Κωνσταντινουπόλει ἡμέτερον πρέσβυν, οὐχὶ δὲ πρὸς τὴν ὀθωμανικὴν κυβέρνησιν, ἥτις ἐν τῷ ζητήματι τούτῳ δὲν παρενέβη εἰμὴ ὡς μεσολαβητής.

Φαίνεται ὅμως ὅτι οἱ ἁγιώτατοι πατέρες δὲν εὐχαριστήθησαν ἐκ τῆς ἡμετέρας ἀπαντήσεως· καθότι τὸν Ἀπρίλιον τοῦ 1880 εἴδομεν ἐλθόντας εἰς Βουκουρέστιον δύο καλογήρους, οἵτινες ἀφ' οὗ ἐνεφανίσθησαν τῇ αὐτοῦ ὑψηλοπανιερότητι τῷ ἡμετέρῳ μητροπολίτῃ, ἦλθον νὰ ἐπισκεφθῶσι καὶ ἐμέ· ἐγὼ τοὺς ἐδέχθην παρ' ἐμοί, ἐν τῷ οἴκῳ μου, καὶ ἀφ' οὗ μοι ἐνεχείρισαν μίαν ἐπιστολὴν τοῦ πατριάρχου Κωνσταντινουπόλεως, μοὶ εἶπαν ὅτι εἶναι ἐπιφορτισμένοι νὰ πραγματευθῶσι τὸ ζήτημα τῶν Προσκυνημένων μοναστηρίων, ἐπειδὴ ὑφίστατό τις παρεννόησις μεταξὺ ἡμῶν καὶ τῆς ἀνατολικῆς Ἐκκλησίας. Ἐγὼ ἀπήντησα ὅτι ἡ ρωμουνικὴ κυβέρνησις δὲν γνωρίζει ὡς ὑφιστάμενον τοιοῦτον ζήτημα, ὅτι θεωρεῖ τὸ ζήτημα τοῦτο ὡς πρὸ πολλοῦ λελυμένον καὶ πεπερατωμένον. Προσέθηκα δὲ συγχρόνως ὅτι κἂν τυχὸν ὑπῆρχέ τις διαφορά, ἡμεῖς ὡς κυβέρνησις κράτους ἀνεξαρτήτου δὲν δυνάμεθα νὰ πραγματευθῶμεν μετὰ τῶν ἁγίων ἐκείνων ἀρχιερέων, τῶν ὁποίων οὐδὲν εἶδος χαρακτῆρος ἀναγνωρίζομεν· διότι ἡμεῖς δὲν δυνάμεθα νὰ πραγματευώμεθα εἰμὴ μετὰ ἀντιπροσώπων ἑνὸς βασιλέως, καὶ ἐπειδὴ ὁ πατριάρχης δὲν εἶναι βασιλεύς, δὲν δυνάμεθα νὰ ἔμβωμεν εἰς ὁμιλίαν μετὰ τῶν ἁγίων ἐκείνων ἀρχιερέων· χαίρω δὲ ὅτι ἔλαβον τὴν προσωπικὴν γνωριμίαν των καὶ πλέον οὔ.

Ταῦτά εἰσι τὰ λαληθέντα. Εἰς οὐδεμίαν ὁμιλίαν ἠθέλησα νὰ ἔμβω, ἀλλὰ τοῖς εἶπα, ὅτι ὅσον δι' ἡμᾶς δὲν ὑφίσταται διαφορά τις, καὶ ἂν τυχὸν ὑφίστατο, δὲν ἔχωμεν νὰ πραγματευθῶμεν μετὰ τῆς ἁγιωσύνης των.

